σίγα νυν ἑστὼς καὶ μέν' ὡς κυρεῖς ἔχων.

ΟΔΥΣΣΕΥΣ.

μένοιμ' ἄν· ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν.

ΑΘΗΝΑ.

ὦ οὗτος, Αἴας, δεύτερόν σε προσκαλῶ·
τί βαιὸν οὕτως ἐντρέπει τῆς συμμάχου;

ΑΙΑΣ.

ὦ χαῖρ' Ἀθάνα, χαῖρε Διογενὲς τέκνον,
ὡς εὖ παρέστης· καί σε παγχρύσοις ἐγὼ

Od. μεμηνότα anders auf. Daher seine ablehnende Antwort.

82. ἐξίστασθαι, aus dem Wege gehen, wie *aversari* im Sinne von *declinare*, *refugere* mit dem Accusativ, z. B. τὸν κίνδυνον. Vgl. Krüger Gr. § 46, 10 Anm. 1. — ἐξέστην ὄκνῳ, wie Phil. 225 ὄκνῳ δείσαντες.

83. Auch in seinem jetzigen Wahnsinn hast du ihn nicht zu fürchten, da er dich nicht einmal sehen wird. — οὐδὲ μὴ ἴδῃ ist ein verstärktes οὐδ' ὄψεται, zu O. C. 848.

84. εἴπερ = ἐπείπερ, da ja doch. — τοῖς αὐτοῖς, οἷς πρότερον ἑώρα.

85. καὶ δεδορκότα, so scharfsichtig sie sonst sind; δέρκεσθαι ist scharf blicken, daher δεδορκὼς βλέπειν *luminibus oculorum acribus*. Aesch. Suppl. 409 δεδορκὸς ὄμμα.

86. τεχνωμένου, ein gewählter Ausdruck statt θέλοντος. Das Participium ist hypothetisch zu fassen, wie θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις (Eur. fr. 401).

87. ἑστὼς, weil Odysseus (75) sich scheu vom Zelte hatte zurückziehen wollen.

88. μένοιμ' ἄν, ein bescheidenes μενῶ, wie oft λέγοιμ' ἄν ἤδη (nämlich εἰ ἐξείη). Ueber ἤθελον ἄν zu 1400. Phil. 1239. Trach. 734. — ἐκτὸς εἶναι, ausser dem Bereiche (des Aias) sein.

91. Διογενὲς τέκνον, wie Eur. Ion. 465 παῖς ἁ Λατογενής. Cycl. 350 ὦ Παλλάς, ὦ δέσποινα Διογενὲς θεά.

στέψω λαφύροις τῆσδε τῆς ἄγρας χάριν.

ΑΘΗΝΑ.

καλῶς ἔλεξας· ἀλλ' ἐκεῖνό μοι φράσον,
ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ;

ΑΙΑΣ.

κόμπος πάρεστι κοὐκ ἀπαρνοῦμαι τὸ μή.

ΑΘΗΝΑ.

ἦ καὶ πρὸς Ἀτρείδαισιν ἤχμασας χέρα;

ΑΙΑΣ.

ὥστ' οὔποτ' Αἴανθ' οἵδ' ἀτιμάσουσ' ἔτι.

ΑΘΗΝΑ.

τεθνᾶσιν ἄνδρες, ὡς τὸ σὸν ξυνῆκ' ἐγώ.

ΑΙΑΣ.

θανόντες ἤδη τἄμ' ἀφαιρείσθων ὅπλα.

ΑΘΗΝΑ.

εἶεν, τί γὰρ δὴ παῖς ὁ τοῦ Λαερτίου,
ποῦ σοι τύχης ἔστηκεν; ἦ πέφευγέ σε;

95. ἔγχος bei den Tragikern in anderem Sinn als bei Homer, vgl. zu 658.

96. τὸ μή, näml. βάψαι. Ant. 443 καὶ φημὶ δρᾶσαι κοὐκ ἀπαρνοῦμαι τὸ μή. An beiden Stellen ist vielleicht τὸ μὴ οὔ zu lesen, weil ein negirter Infinitiv von einem negirten Verbum abhängt, vgl. Krüger Gr. § 67, 12. Anm. 6.

97. αἰχμάζειν χέρα ist dem Homerischen αἰχμὰς αἰχμάζειν frei nachgebildet, wie Oppian. Hal. 2, 499 αἰχμάζειν δηίοις μόρον sagt. Aehnlich Eur. Iph. Taur. 362 χεῖρας ἐξηκόντισα nach dem Homerischen ἀκοντίζειν αἰχμάς. Vgl. Krüger Gr. § 46, 6 Anm. 6.

98. In der Nennung des Namens selbst (zu O. C. 3) statt ἐμέ liegt Ethos, wie 864. Il. 1, 240 ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν. 19, 151 ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισι ἴδηται ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας. O. R. 1366 εἰ δέ τι πρεσβύτερον ἔτι κακοῦ κακόν, τοῦτ' ἔλαχ' Οἰδίπους.

99. τὸ σόν, dein Wort, wie 1401. Ueber den Aorist ξυνῆκα vgl. zu El. 1479 οἴμοι, ξυνῆκα τοὔπος.

100. τἀμὰ ὅπλα, die von Rechtswegen mir gebührenden Waffen des Achilleus. Aias, der dies alles hohnlachend spricht, wodurch das Unheimliche dieses Auftritts erhöht wird, vgl. 303, bedient sich einer ähnlichen bittern Ironie wie Kreon Ant. 310 ἵν' εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον, τὸ λοιπὸν ἁρπάζητε.

101f. τί γὰρ — ποῦ ἔστηκεν, vgl. 983 τί γὰρ τέκνον τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τροάδος; Eur. Iph. T. 576 φεῦ φεῦ, τί δ' ἡμῶν οἱ φίλοι γεννήτορες; ἆρ' εἰσίν; ἆρ' οὐκ εἰσί; τίς φράσειεν ἄν; — ποῦ σοι τύχης ἔστηκεν; an welche Stelle des Geschicks hast du ihn gestellt, d. h. welches Loos ist ihm durch dich geworden? Vgl. Trach. 375 ποῦ ποτ' εἰμὶ πράγματος; O. R. 1442 ἵν' ἔσταμεν χρείας.

103. Vgl. 381 κακοπινέστατον ἄλημα στρατοῦ. Andokid. 1, 99 ὦ συκοφάντα καὶ ἐπίτριπτον κίναδος. — ὅπου, näml. τῆς τύχης ἔστηκεν, vgl. 33. 890. O. C. 1218 τὰ τέρποντα δ' οὐκ ἂν ἴδοις ὅπου.

104. ἔγωγε, allerdings, wie 1347. 1365. Trach. 1248. — Ὀδυσσῆ statt Ὀδυσσέα auch ausserhalb des Dorischen Dialekts: so Ὀδυσσῆ Eur. Rhes. 708. Ἀχιλῆ El. 439. ἱερῆ Alc. 25. βασιλῆ Orakel bei Herod. 7, 220. Eur. fr. 781, 24. βραβῆ Epigr. bei Demosth. 18, 289. φονῆ Lykophr. 1038. βασιλῆς unten 390.

106. Den Hohn steigert die Alliteration θακεῖ· θανεῖν, wie 105 ἤδιστος, ὦ δέσποινα, δεσμώτης.

108. Die übliche Art Sklaven abzustrafen *adstrictos ad columnam fortiter* (Plautus), vgl. 240. zu Ant. 309. Die Römischen Komiker nennen es *pendere, pendentem plecti.*

110. Streng genommen ist es unlogisch zu sagen: θανεῖν αὐτὸν οὔπω θέλω, πρὶν ἂν θάνῃ. Doch wird das zweite Glied durch Hinzufügung der nähern Umstände, die dem Tode vorhergehen sollen, erweitert und verstärkt. So ruht hier der Nachdruck auf μάστιγι πρῶτον νῶτα φοινιχθείς. Vgl. Trach. 1130 Hyllos: τέθνηκεν (Deianeira) αὐτὴ πρὸς αὑτῆς. Herakles: οἴμοι· πρὶν ὡς χρὴν σφ' ἐξ ἐμῆς θανεῖν χερός; Phil. 1329 παῦλαν ἴσθι τῆσδε μὴ ποτ' ἂν τυχεῖν νόσου βαρείας, — πρὶν ἂν τῶν παρ' ἡμῖν ἐντυχὼν Ἀσκληπιδῶν νόσου μαλαχθῇς τῆσδε.

112. ἐφίεμαί σε εἰς τὰ ἄλλα κελεύειν μοι καὶ χαίρειν ὡς πει-

ΑΙΑΣ.

ἦ τοὐπίτριπτον κίναδος ἐξήρου μ' ὅπου;

ΑΘΗΝΑ.

ἔγωγ'· Ὀδυσσῆ τὸν σὸν ἐνστάτην λέγω.

ΑΙΑΣ.

ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω
θακεῖ· θανεῖν γὰρ αὐτὸν οὔτι πω θέλω.

ΑΘΗΝΑ.

πρὶν ἂν τί δράσῃς ἢ τί κερδάνῃς πλέον;

ΑΙΑΣ.

πρὶν ἂν δεθεὶς πρὸς κίον' ἑρκείου στέγης

ΑΘΗΝΑ.

τί δῆτα τὸν δύστηνον ἐργάσει κακόν;

ΑΙΑΣ.

μάστιγι πρῶτον νῶτα φοινιχθεὶς θάνῃ.

ΑΘΗΝΑ.

μὴ δῆτα τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ.

ΑΙΑΣ.

χαίρειν, Ἀθάνα, τἄλλ' ἐγώ σ' ἐφίεμαι·

κεῖνος δὲ τίσει τήνδε κοὐκ ἄλλην δίκην.

ΑΘΗΝΑ.

σὺ δ' οὖν, ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν,
χρῶ χειρί, φείδου μηδὲν ὧνπερ ἐννοεῖς.

ΑΙΑΣ.

χωρῶ πρὸς ἔργον· [τοῦτο] σοὶ δ' ἐφίεμαι,
τοι 'νδ' ἀεί μοι σύμμαχον παρεστάναι.

ΑΘΗΝΑ.

ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
τούτου τίς ἄν σοι τἀνδρὸς ἢ προνοὐστερος
ἢ δρᾶν ἀμείνων ἠὑρέθη τὰ καίρια;

ΟΔΥΣΣΕΥΣ.

ἐγὼ μὲν οὐδέν' οἶδ'· ἐποικτείρω δέ νιν
δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ,
ὀθούνεκ' ἄτῃ συγκατέζευκται κακῇ,
οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν.
ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν.

θομένου μου· εἰς τοῦτο δὲ μόνον οἰκ ἀκούσομαί σου (Schol.). 'De ceteris omnia quae vis fieri cupio, quod cum usitata amandandi formula χαίρειν σε κελεύω verbis congruit, sententia discrepat, quippe seiunctum ab aspernationis significatione.' Lobeck.

113. τήνδε κοὐκ ἄλλην, wie O. C. 908 τούτοισι κοὐκ ἄλλοισιν. Oben 20 κεῖνον γάρ, οὐδέν' ἄλλον.

114. τέρψις ἥδε σοι τὸ δρᾶν, τερπνὸν τοῦτο σοί ἐστι, näml. τὸ δρᾶν. Ueber das Femininum ἥδε vgl. O. C. 775 τίς αὕτη τέρψις ἄκοντας φιλεῖν; Trach. 483 εἴ τι τήνδ' ἁμαρτίαν νέμεις. — τὸ δρᾶν, wie Phil. 118 οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν. 881 μηδ' ἐπίσχωμεν τὸ πλεῖν. O. C. 442 τὸ δρᾶν οὐκ ἠθέλησαν. Phil. 1241 ὅς σε κωλύσει τὸ δρᾶν.

115. Vgl. Eur. Med. 400 ἀλλ' εἶα, φείδου μηδὲν ὧν ἐπίστασαι. Hec. 1044 ἄρασσε, φείδου μηδέν. Herc. F. 1400 ἔκμασσε, φείδου μηδέν.

116. χωρῶ πρὸς ἔργον. Hiermit wird das Abtreten des Aias passend motivirt.

119f. Wen hättest du einsichtiger und thatkräftiger erfinden können? wenn du ihn in gesunden Tagen betrachtet hättest. Dasselbe Lob wird Il. 7, 288 dem Aias von Hektor gespendet, Αἴαν, ἐπεί τοι δῶκε θεὸς μέγεθός τε βίην τε καὶ πινυτήν. Ueber ηὑρέθη ἄν vgl. Trach. 707f.

121. ἐγὼ μέν, zu 80.

123. συγκατέζευκται, vgl. Eur. Hel. 255 τίνι πότμῳ συνεζύγην; Andr. 98 στερρὸν δαίμον' ᾧ συνεζύγην. Hipp. 1389 οἵαις συμφοραῖς συνεζύγης. Vgl. zu Ant. 1311.

124. Vgl. 1313 ὅρα μὴ τοὐμόν, ἀλλὰ καὶ τὸ σόν.

126. κούφην σκιάν, wie fr. 860 ὡς οὐδὲν ἐσμεν πλὴν σκιᾶς

ΑΘΗΝΑ.

τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃ μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει.
ὡς ἡμέρα κλίνει τε κἀνάγει πάλιν
ἅπαντα τἀνθρώπεια· τοὺς δὲ σώφρονας
θεοὶ φιλοῦσι καὶ στυγοῦσι τοὺς κακούς.

ΧΟΡΟΣ.

Τελαμώνιε παῖ, τῆς ἀμφιρύτου
Σαλαμῖνος ἔχων βάθρον ἀγχιάλου,
σὲ μὲν εὖ πράσσοντ' ἐπιχαίρω·

ἐοικότες. Pindar nennt den Menschen σκιᾶς ὄναρ (zu O. C. 1211ff.). Mit κούφη σκιά vgl. καπνοῦ σκιά Ant. 1170. Phil. 946. κουφότερος φελλοῦ σκιᾶς Strab. Ip. 36.

128. αὐτός, wie Aias 767ff.

129. ἄρῃ medial, wie unten 192 φάτιν αἴρεσθαι. Anderes zu O. R. 914.

130. μακροῦ, μεγάλου, wie 825 μακρὸν γέρας. — βάθει, wie Pind. Ol. 13, 62 βαθὺν κλᾶρον, Aesch. Suppl. 555 βαθύπλουτον χθόνα. Eben so κακῶν βάθος. Körperstärke und Reichthum werden oft verbunden, s. zu Ant. 952 οὔτ' ὄλβος οὔτ' Ἄρης.

131f. Eur. fr. 424 μί' ἡμέρα τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω. fr. 553 ἀλλ' ἦμαρ ἕν τοι μεταβολὰς πολλὰς ἔχει. fr. 102 ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ τίκτει βροτοῖσιν.

134ff. Aehnlich Eur. Tro. 799 μελισσοτρόφου Σαλαμῖνος ὦ βασιλεῦ Τελαμών, νάσου περικύμονος οἰκήσας ἕδραν τᾶς ἐπικεκλιμένας ὄχθοις ἱεροῖς, ἵν' ἐλαίας πρῶτον ἔδειξε κλάδον γλαυκᾶς Ἀθάνα.

135. ἀμφιρύτου Σαλαμῖνος bildet einen Gesammtbegriff, Salamisinsel, wozu dann ἀγχιάλος tritt, meernachbarlich, im Meere gelegen. Aesch. Pers. 889 καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους, Λήμνον Ἰκάρου θ' ἕδος. Hymn. Apoll. 32 ἀγχιάλη Πεπάρηθος. Geminus Anth. Pal. 9, 288 ὑβρίζων Μαραθῶνα καὶ ἀγχιάλου Σαλαμῖνος ἔργα. Die Stellung der Worte τῆς ἀμφιρύτου Σαλαμῖνος ἀγχιάλου wie O. R. 1198 τὰν γαμψώνυχα παρθένον χρησμῳδόν. O. C. 1235 τό τε κατάμεμπτον ἐπιλέλογχε πύματον ἀκρατὲς ἀπροσόμιλον γήρας ἄφιλον. Phil. 393 τὸν μέγαν Πάκτωλον εὔχρυσον. El. 1143 τῆς ἐμῆς πάλαι τροφῆς ἀνωφελήτου. Vgl. zu Trach. 674f. Mit βάθρον vgl. Phil 1000 γῆς τόδ' αἰπεινὸν βάθρον.

136. Structuren der *verba affectuum* mit dem Accusativ des Participium, wie ἥσθην σε εὐλογοῦντα Phil. 1314, χαίρω σ' εὐτυχοῦντα Eur. Rhes. 390, ἠχθετο δαμναμένους Il. 13, 352f., Ἀρίσταρχον στρατηγοῦντ' ἄχθομαι Eupol. Com. 2 p. 442, sind den Dichtern eigen. Vgl. zu O. R. 785. Während aber hier der Gedanke: wenn es dir wohl geht, so freue ich mich darob (ἐπιχαίρω = συγχαίρω), nicht aber: da es dir wohl geht — σοῦ εὖ πράσσοντος erwarten liesse,

σὲ δ' ὅταν πληγὴ Διὸς ἢ ζαμενὴς
λόγος ἐκ Δαναῶν κακόθρους ἐπιβῇ,
μέγαν ὄκνον ἔχω καὶ πεφόβημαι
πτηνῆς ὡς ὄμμα πελείας.
ὡς καὶ τῆς νῦν φθιμένης νυκτὸς
μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς
ἐπὶ δυσκλείᾳ,
σὲ τὸν ἱππομανῆ λειμῶν' ἐπιβάντ'
ὀλέσαι Δαναῶν βοτὰ καὶ λείαν,
ἥπερ δορίληπτος ἔτ' ἦν λοιπή,
κτείνοντ' αἴθωνι σιδήρῳ.
τοιούσδε λόγους ψιθύρους πλάσσων
εἰς ὦτα φέρει πάντων Ὀδυσεύς,
καὶ σφόδρα πείθει·
περὶ γὰρ σοῦ νῦν εὔπιστα λέγει,

hat das nachfolgende, den Schwerpunkt des Gedankens enthaltende Satzglied jenen motivirenden Gedanken derselben Form assimilirt, σὲ μὲν εὖ πρ. ἐπ., σὲ δ' —. Die Homerische Anaphora des Pronomen (Hipponax fr. 30 p. 595 ἀπό σ' ὀλέσειεν Ἄρτεμις, σὲ δ' ὠπόλλων), um die in Glück und Unglück dem Aias treue Anhänglichkeit auszudrücken, = gleichwie ich mich im Glück mit dir freue, so —.

137f. πληγὴ Διός, wie 279 δέδοικα μὴ ἐκ θεοῦ πληγή τις ἥκει. Aesch. Ag. 367 Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν (die Troer nach der Zerstörung). Der Chor meint die θεία νόσος 186. — λόγος κακόθρους, dichterische Fülle des Ausdrucks statt λόγος κακός, wie 709 εὐάμερον φάος, Trach. 81 βίοτον εὐαίωνα, und ähnl. zu O. C. 716. Mit ἐπιβῇ vgl. Phil. 194 παθήματα πρὸς αὐτὸν ἐπέβη.

140. Die Angst der wilden Taube (τρήρων πέλεια Hom.) verräth sich zunächst im scheuen Blick (mit ὄμμα πελείας vgl. Trach. 527 ἀμφινείκητον ὄμμα νύμφας); dann entfliegt sie rasch, weshalb mit πτηνῆς an den hastigen Gebrauch der Flügel erinnert wird. Aehnlichen Grund hat ὑπόπτεροι πέλειαι Phil. 288 und πτηνὸς οἰωνός Ant. 1082.

142. θόρυβοι (anders θορυβεῖ 164), grosse Unruhe, die den Chor in Folge der bösen Nachrede erfüllt, μέγαν ὄκνον ἔχω 139.

144. ἱππομανής (vgl. 332) nach den Scholien εὐανθής, ἐφ' ᾧ οἱ ἵπποι μαίνονται, von Rossen lustig durchschwärmt. Unpassend ist die Erklärung von Rossen wimmelnd, wie von Bäumen die ins Laub schiessen φυλλομανεῖν, von Weinstöcken ὑλομανεῖν gesagt wird.

145. Die βοτά ähnlich wie 54 mit der δορίληπτος λεία verbunden.

148. Schol.: καλῶς τὸ ψιθύρους λόγους, ὡς διὰ πανουργίαν ἀδεῶς οὐ λέγοντος, ἀλλὰ πρὸς ἓν ἕκαστον ἐξαπατῶντος λάθρᾳ.

151. νῦν, seit du im Waffengericht unterlagst.

καὶ πᾶς ὁ κλύων [τοῦ λέξαντος] χαίρει μᾶλλον
τοῖς σοῖς ἄχεσιν καθυβρίζων.
τῶν γὰρ μεγάλων ψυχῶν ἰεὶς
οὐκ ἂν ἁμάρτοις· κατὰ δ' ἄν τις ἐμοῦ
τοιαῦτα λέγων οὐκ ἂν πείθοι·
πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει.
καίτοι σμικροὶ μεγάλων χωρὶς
σφαλερὸν πύργου ῥῦμα πέλονται·
μετὰ γὰρ μεγάλων βαιὸς ἄρισθ' ἂν
καὶ μέγας ὀρθοῖθ' ὑπὸ μικροτέρων.
ἀλλ' οὐ δυνατὸν τοὺς ἀνοήτους
τούτων γνώμας προδιδάσκειν.

152. χαίρει μᾶλλον, nämlich ἢ πρόσθεν. Das Verkennen dieser Beziehung hat den unpassenden Zusatz τοῦ λέξαντος hervorgerufen. Verbindet man κλύων τοῦ λέξαντος, so bekommt man einen ungeschickten Pleonasmus; macht man den Genetiv von μᾶλλον abhängig, so leidet der Sinn. Obenein müsste statt λέξαντος nothwendig das Präsens stehen. Die Feinde und Neider des Aias werden, so meint der Chor, durch die bösen Verleumdungen, deren Urheber Odysseus ist, mit neuer und grösserer Schadenfreude erfüllt.

153. καθυβρίζειν wird gewöhnlich mit dem Accus. verbunden, wie El. 522, doch auch mit dem Gen. (O. C. 960. Phil. 1364) und mit dem Dativ, wie hier und bei Herodot 1, 212.

154. ἰείς, τοξεύων. Der Gen. wie bei Hom. τιτύσκεσθαι, τοξεύειν, ἀκοντίζειν τινός.

155. ἐμοῦ, τοῦ δημοτικοῦ καὶ εὐτελοῦς. Die allgemeine Sentenz ist speciell gefärbt, wie O. R. 500 ἀνδρῶν δ' ὅτι μάντις πλέον ἢ ἐγὼ φέρεται, κρίσις οὐκ ἔστιν ἀληθής. Trach. 443 οὗτος (Eros) γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει κἀμοῦ γε. Vgl. Phil. 299.

157. τὸν ἔχοντα, τὸν μέγαν, τὸν δυνάμενον, wie Grosse, Mächtige, Reiche oft οἱ ἔχοντες. Aehnlich Trag. adesp. 462, 12 πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιβάζεται. Vgl. 138 ἐπιβῇ, zu Ant. 10. — Die Gedanken hängen so zusammen: 'Neid und Bosheit suchen dem Hervorragenden etwas anzuhaben, und doch können die Geringeren ohne jene so wenig bestehen, wie jene ohne diese'. Das zweite Glied (161) dient nur zur Vervollständigung und sollte eigentlich mit einem wie auch oder einer ähnlichen Wendung eingeführt sein. Statt dessen die Parataxis, s. zu 647. Ant. 367.

159. πύργου ῥῦμα, schützender Thurm, wie nach Alkaeos fr. 23 p. 710 ἄνδρες πόληος πύργος ἀρήιοι, und Aias bei Homer πύργος Ἀχαιῶν heisst. Vgl. ἀσπίδος ἔρυμα, schirmender Schild, σφραγῖδος ἔρκος Trach. 615 u. ä.

160f. Sophokles scheint ein Sprichwort im Sinne zu haben, vgl. Plat. Leg. 10 p. 902 D οὐδενὶ χωρὶς τῶν ὀλίγων καὶ σμικρῶν πολλὰ ἢ μεγάλα· οὐδὲ γὰρ ἄνευ σμικρῶν τοὺς μεγάλους φασὶν οἱ λιθολόγοι λίθους εὖ κεῖσθαι.

163. τούτων, τῶν λεχθέντων.

ὑπὸ τοιούτων ἀνδρῶν θορυβεῖ,
χήμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ᾽
ἀπαλέξασθαι σοῦ χωρίς, ἄναξ.
ἀλλ᾽ ὅτε γὰρ δὴ τὸ σὸν ὄμμ᾽ ἀπέδραν,
παταγοῦσιν ἅπερ πτηνῶν ἀγέλαι
μέγαν αἰγυπιόν,
τάχ᾽ ἂν ἐξαίφνης, εἰ σὺ φανείης,
σιγῇ πτήξειαν ἄφωνοι.

στροφή.

ἦ ῥά σε Ταυροπόλα Διὸς Ἄρτεμις —

— προδιδάσκειν, zu Trach. 680 f. Ganz entsprechend ist der Gebrauch von προμανθάνειν, zu Phil. 538.

164. θορυβεῖσθαι, umlärmt werden, zu 30. Aehnlich αὐλεῖσθαι, vom Schalle der Flöten erfüllt werden.

167 ff. 'Wir allein können nicht gegen sie aufkommen, sondern du musst erscheinen, um das kecke Lärmen zum Schweigen zu bringen'. Allein durch Einschiebung des begründenden Gedankens (παταγοῦσι γάρ, ὅτε ἀπέδραν) wird statt der beabsichtigten Aufforderung (σὲ φανῆναι δεῖ) gleich die sicher zu erwartende Folge des gewünschten Erscheinens, das schleunige Verstummen, dem παταγοῦσιν ἀποδράντες gegenübergestellt. Verb. ἀλλὰ τάχ᾽ ἂν πτήξειαν, εἰ σὺ φανείης· παταγοῦσι γὰρ τὸ σὸν ὄμμα ἀποδράντες. Sind die Feinde dem Blicke des Aias entronnen, so werden sie dreist und laut, wie der Vögelschwarm, der, dem Geier entkommen, laut kreischt. Aus ἀπέδραν ist ἀποδρᾶσαι zu ἅπερ πτ. ἀγέλαι zu denken. Den plötzlichen Schreck malt die Häufung σιγῇ πτ. ἄφωνοι (Homer ἀκὴν ἐγένοντο σιωπῇ), wie bei Pind. Pyth. 4, 57 die Helden über Medeas Rede ἔπταξαν ἀκίνητοι σιωπᾷ, vgl. Pind. fr. 214 νικώμενοι γὰρ ἄνδρες ἀγρυξίᾳ δέδενται, Alkaeos fr. 27 p. 711 ἔπταζον ὥστ᾽ ὄρνιθες ὠκυν αἶετον ἐξαπίνας φάνεντα.

172—200. Der Chor, in Reihe und Glied geordnet, stimmt das erste lyrische Lied an. 'Ist Aias der Thäter, so muss eine von ihm beleidigte Gottheit seinen Sinn verwirrt haben: hat aber nur die Bosheit seiner Feinde das Gerücht ausgesprengt, so möge er endlich hervortreten und das freche Gerede zu Schanden machen'. Ganz ähnlich gebaut sind die auch der Stimmung nach verwandten Parodoi Trach. 94 ff. O. R. 151 ff.

172. Dem ἦ ῥα entspricht 179 ἦ (an) χαλκοθώραξ — ἔτισατο λώβαν; Eben so Pind. Isthm. 7, 3 ἦ ῥα ἀνίκ᾽ ἄντειλας Διόνυσον, ἦ δεξαμένα τὸν φέρτατον θεῶν; Der Chor denkt an zwei dem Aias befreundete Kriegsgottheiten: an Artemis zunächst, weil sie auch sonst Vernachlässigung hart straft, wie sie den Kalydonischen Eber sendet, weil Oeneus ihr nicht geopfert hatte (Il. 9, 533 ff.), Agamemnons Vermessenheit in Aulis züchtigt u. ä. Die Jägerin Artemis (ἀγροτέρα) wird hier Ταυροπόλα, die Stiertummelnde genannt mit Beziehung darauf, dass Aias auch ταύρους geschlachtet hatte, vgl. über derartige ominöse Beziehungen der Eigennamen zu 430. Die Ταυροπόλα, welche auf Münzen einen wilden Stier tummelnd erscheint, war eine Asiatische, blutige Opfer heischende, sinnverwirrende Gottheit, welche im Attischen Gau Halä Araphenides, wohin Orestes das ξόανον aus Taurien gebracht haben sollte (Eur. Iph. Taur. 1449 ff.), und sonst mit orgiastischen Gebräuchen verehrt wurde. Vgl. Preller Gr. Myth. 1, 241 zw. Aufl. — Διὸς Ἄρτεμις, zu 952.

173. μεγάλα ist unrichtig: nicht ein 'grosses' Wort, sondern eine 'traurige' oder 'schreckliche' Kunde hat der Chor vernommen. Der parenthetisch eingeschaltete Ausruf soll bezeichnen, dass der Chor das Grässliche kaum über die Lippen zu bringen vermag.

175. παυδάμους, vgl. 53 f. — ἀγελαίας nach Od. 17, 181 ἴρενον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην.

176 ff. Den Grund des etwaigen Zornes der Artemis sucht der Chor in einer derselben vorenthaltenen Ehrengabe: ἦ πού (d. h. ἴσως, forte) τινος νίκας ἀκάρπωτος χάριν. Das Adj. ἀκάρπωτος regiert den Accusativ χάριν, weil der Sinn ist μὴ καρπωσαμένη νίκης χάριν. Plat. Alcib. II p. 141 D οἶμαι δέ σε οὐκ ἀνήκοον εἶναι ἔνιά γε χθιζά τε καὶ πρωιζὰ γεγενημένα. Charmid. p. 158 C εἶπε γὰρ ὅτι οὐ ῥᾴδιον εἴη ἐν τῷ παρόντι οὔθ᾽ ὁμολογεῖν οὔτε ἐξάρνῳ εἶναι τὰ ἐρωτώμενα. Lysias 3, 27 καὶ ταῦτα ἔξαρνός ἐστι. Vgl. zu Ant. 787 καί σ᾽ οὔτ᾽ ἀθανάτων φύξιμος οὐδεὶς οὔθ᾽ ἁμερίων σέ γ᾽ ἀνθρώπων. Die νίκα τις wird wieder zerspalten durch ἦ ψευσθεῖσα ἐνάρων δώροις im Kriege', εἴτε ἐλαφαβολίας δώροις auf der Jagd, deren Vorsteherin Artemis ist. — ψευσθεῖσα δώροις, etwas verschieden von dem üblichen ψευσθεῖσα δώρων, ist nach der Analogie von διεψεύσθην τῷ λογισμῷ und entsprechenden Ausdrücken zu erklären: getäuscht durch die Gaben, welche sie gehofft für die erbeutete Rüstung oder den erlegten Hirsch. Ueber die Form ἐλαφαβολία statt ἐλαφηβολία vgl. zu O. R. 181, über ἦ und εἴτε Eur. Alc. 114 ἦ Λυκίας εἴτ᾽ ἐπὶ τὰς ἀνύδρους Ἀμμωνιάδας ἕδρας.

179 f. 'Oder hat Envalios über unvergolten gebliebenen Beistand sich zu beklagen?' Mit μομφὰν ἔχειν vgl. Aesch. Prom. 445 μέμψιν οὔτιν᾽ ἀνθρώποις ἔχων. Eur. Or. 1069 ἐν μὲν πρώτᾳ σοι μομφὴν ἔχω. — Ἐνυάλιος wird bald mit Ares identificirt, bald selbstän-

ὦ μεγάλα φάτις, ὦ
μᾶτερ αἰσχύνας ἐμᾶς —
ὥρμασε πανδάμους ἐπὶ βοῦς ἀγελαίας,
ἦ πού τινος νίκας ἀκάρπωτος χάριν,
ἦ ῥα κλυτῶν ἐνάρων
ψευσθεῖσα δώροις εἴτ᾽ ἐλαφαβολίας;
ἦ χαλκοθώραξ σοί τιν᾽ Ἐνάλιος
μομφὰν ἔχων ξυνοῦ δορὸς ἐννυχίοις
μαχαναῖς ἐτίσατο λώβαν;

ἀντιστροφή.

οὔποτε γὰρ φρενόθεν γ᾽ ἐπ᾽ ἀριστερά,

παῖ Τελαμῶνος, ἔβας
τόσσον, ἐν ποίμναις πίτνων·
ἦκοι γὰρ ἂν θεία νόσος· ἀλλ' ἀπερύκοι
καὶ Ζεὺς κακὰν καὶ Φοῖβος Ἀργείων φάτιν.
εἰ δ' ὑποβαλλόμενοι
κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς
χὠ τᾶς ἀσώτου Σισυφιδᾶν γενεᾶς,
μὴ μηκέτ', ὦναξ, ὧδ' ἐφάλοις κλισίαις
ἐμμένων κακὰν φάτιν ἄρῃ.

ἐπῳδός.

ἀλλ' ἄνα ἐξ ἑδράνων, ὅπου μακραίωνι

dig gedacht. Die Attiker pflegen ihn vom Ares, welchen Sophokles nicht nennen mochte, weil er auf Seite der Troer stand, zu trennen, vgl. Aristoph. Pac. 457 Ἄρει δὲ μὴ μηδ' Ἐνυαλίῳ γε, und den Schwur der Epheben: ἵστορες θεοί, Ἄγραυλος Ἐνυάλιος Ἄρης Ζεύς. Vgl. Preller Gr. Myth. 1, 254 zw. Aufl. Auf der Aiasinsel Salamis war ein Tempel des Enyalios (Plutarch Sol. 9), und der Athenische Archon Polemarchos opferte jährlich der Ἄρτεμις ἀγροτέρα und dem Enyalios (Pollux 8, 91). Vielleicht waren diese Umstände nicht ohne Einfluss auf die Fassung unserer Stelle.

183 ff. Statt des zur Ergänzung von τόσσον erwarteten ὥστε πεσεῖν tritt kräftiger das Participium ein: 'nimmermehr bist du dergestalt zu unvernünftigem Beginnen geschritten, als du es gethan hast durch dein Ueberfallen der Heerden'. Vgl. Ant. 752 ἦ κἀπαπειλῶν ὧδ' ἐπεξέρχει θρασύς; zu O. R. 10 f. El. 84. Dem φρενόθεν ἐπ' ἀριστερὰ ἔβας ist ähnlich das Bild bei Ennius Annal. 208 *quo vobis mentes, rectae quae stare solebant antehac, dementes sese flexere viai?*

186. γάρ steht dem γὰρ 183 gleich. — θεία, ἐκ θεοῦ κατασκήψασα, vgl. 137. 611.

187. Zeus als πανομφαῖος, Apollon als dessen Prophetes, zu O. R. 151. Die Sperrung des Adject., wie El. 780 ὥστ' οὔτε νυκτὸς ὕπνον οὔτ' ἐξ ἡμέρας ἐμὲ στεγάζειν, um Ζεύς und Φοῖβος zu heben.

188. ὑποβ. κλέπτουσι, ὑποβλήτως λέγοντες ὑποσπείρουσι. Vgl. El. 37 δόλοισι κλέψαι σφαγάς u. ä.

189f. οἱ μεγάλοι βασιλῆς, die Atriden; ὁ τᾶς Σισ. γενεᾶς, verächtlich der vom Sisyphidenstamme. Die nachhomerische Volkssage gefiel sich darin, die durch Verschmitztheit hervorragenden Personen der Vorzeit verwandtschaftlich zu verknüpfen. So galt Hermes, der φηλητῶν ἄναξ, als Stammvater des Autolykos wie des Laertes. Letzterer sollte indess nicht der wahre Vater des Odysseus sein: Antikleia, die Tochter des κλεπτοσύνῃ θ' ὅρκῳ τε ausgezeichneten Autolykos, habe, bevor sie aus Arkadien nach Ithaka gekommen, mit dem Korinthischen Σίσυφος, dem κέρδιστος ἀνδρῶν, Umgang gepflogen. Daher warf Aias in Aeschylos' Ὅπλων κρίσις fr. 169 dem Odysseus vor: ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, τῆς σῆς λέγω τοι μητρός, ἥ σ' ἐγείνατο. Vgl. zu Phil. 417.

193. ἄνα (ἀνάστηθι) findet sich

στηρίζει ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ,
ἄταν οὐρανίαν φλέγων. ἐχθρῶν δ' ὕβρις
ἀτάρβητος ὁρμᾶται
ἐν εὐανέμοις βάσσαις,
ἁπάντων καχαζόντων
γλώσσαις βαρυάλγητ'·
ἐμοὶ δ' ἄλγος ἕστακεν.

ΤΕΚΜΗΣΣΑ.

ναὸς ἀρωγοὶ τῆς Αἴαντος,
γενεὰ χθονίων ἀπ' Ἐρεχθειδῶν,
ἔχομεν στοναχὰς οἱ κηδόμενοι

ohne Elision Il. 9, 247 ἀλλ' ἄνα, εἰ μέμονάς γε καὶ ὀψέ περ υἷας Ἀχαιῶν τειρομένους ἐρύεσθαι. Was freilich nicht ausreicht, um für die Tragödie den Hiatus ἄνα ἐξ ἑδράνων zu rechtfertigen.

194. στηρίζει σχολᾷ, *affixus est otio*. Diese σχολή ist ἀγώνιος (ein Oxymoron, wie *otium negotiosum*), ἀγῶνα ἐμποιοῦσα, *discriminis plena*, insofern durch Aias' Brüten im Zelte der Muth seiner Widersacher wächst. (Andre verstehen Kampfesrast, nach Il. 1, 490, wo es vom Achilleus heisst: οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν, οὔτε ποτ' ἐς πόλεμον.) Die Stellung sowohl als der Gedanke verwehrt ὅπου mit ποτέ zu verbinden; zu μακραίωνι und στηρίζει genommen scheint ποτέ die Ungeduld des Chores über das lange Feiern des Aias auszudrücken, ähnlich wie in ἀεί ποτε 320, in ἔτι ποτέ 606.

195. ἄταν οὐρανίαν φλέγων, das Unheil zu himmelhohem (zu Ant. 418) Brande entflammend.

196. Anknüpfend an das vorige Bild sagt der Chor: 'während die Flammen des Unheils auflodern, üben die Feinde des Aias ungefährdet ihren Uebermuth ἐν εὐανέμοις βάσσαις, in Thalschluchten, die nicht vom Winde getroffen werden'. Vgl. Eur. Andr. 749 χείματος γὰρ ἀγρίου τυχοῦσα λιμένας ἦλθες εἰς εὐηνέμους (d. h. ἀχειμάστους, wie εὔογκος = μὴ ὄγκον ἔχων, εὐκάματος = ἄνευ καμάτου ὤν, εὐόργητος = πρᾶος, εὐφημία vom Schweigen u. ä.).

199. γλώσσαις, mit geschwätzigen Zungen, vgl. 409. zu O. R. 1221 ἰαχεῖν ἐκ στομάτων. — βαρυάλγητα adverbial wie O. R. 883 ὑπέροπτα, O. C. 1745 ἄπορα. Vgl. Krüger Gr. II § 46, 6 Anm. 8.

200. ἕστακεν (κεῖται, πέπηγεν), ist fest gebannt, gegenüber dem ὁρμᾶσθαι der ὕβρις, vgl. 1084 ἑστάτω μοι καὶ δέος.

201. ναὸς ἀρωγοί, wie 357 γένος ναΐας ἀρωγὸν τέχνας.

202. Sophokles betrachtet die Bewohner der später Attischen Insel Salamis geradezu als ureingeborne Attiker: den Erechtheus, der oft γηγενής heisst, τέκε ζείδωρος ἄρουρα Il. 2, 548. Ueber die Bezeichnung der Attiker als Ἐρεχθεῖδαι vgl. zu O. R. 1. — χθονίων = αὐτοχθόνων, wie ein tragischer Dichter (bei Hesych.) die Argeier χθονίους Ἰναχίδας nennt.

τοῦ Τελαμῶνος τηλόθεν οἶκον.
νῦν γὰρ ὁ δεινὸς μέγας ὠμοκρατὴς
Αἴας θολερῷ
κεῖται χειμῶνι νοσήσας.

ΧΟΡΟΣ.

τί δ' ἐνήλλακται τῆς εὐμαρίας
νὺξ ἥδε βάρος;
παῖ τοῦ Φρυγίοιο Τελεύταντος,
λέγ', ἐπεὶ σὲ λέχος δουριάλωτον
στέρξας ἀνέχει θούριος Αἴας·
ὥστ' οὐκ ἂν ἄιδρις ὑπείποις.

ΤΕΚΜΗΣΣΑ.

πῶς δῆτα λέγω λόγον ἄρρητον;
θανάτῳ γὰρ ἴσον πάθος ἐκπεύσει.
μανίᾳ γὰρ ἁλοὺς ἦμιν ὁ κλεινὸς
νύκτερος Αἴας ἀπελωβήθη.
τοιαῦτ' ἂν ἴδοις σκηνῆς ἔνδον

204. τηλόθεν, in der Ferne, vgl. zu O. C. 505. Trach. 315.

205. Tekmessa häuft die Epitheta des gewaltigen Helden, um den Gegensatz des Jetzt zu Vorhin zu heben: μέγας oder πελώριος zeichnet ihn vor dem kleineren Οἰλῆος ταχὺς Αἴας aus, ὠμοκρατής erklären einige nach dem Homerischen ἔξοχος Ἀργείων κεφαλὴν ἠδ' εὐρέας ὤμους: vielmehr wird die bisher ungebrochene Kraft des Aias bezeichnet, vgl. 885 ὠμόθυμος, 926 στερεόφρων, 931 ὠμόφρων und 548 ὠμοῖς ἐν νόμοις πατρός (Αἴαντος).

206f. Aias ist von wildem Sturme, d. h. von schwerer, alles gefährdender Krankheit betroffen. — νοσήσας, nachdem er in Krankheit verfallen ist, vgl. στέρξας 212.

208f. Verb. τί δὲ βάρος ἐνήλλακται ἥδε ἡ νὺξ τῆς (πρόσθεν) εὐμαρίας; welch lastendes Leid hat die vergangene Nacht gegen das frühere Wohlbefinden sich eingetauscht? — εὐμαρία, eine seltnere Form für εὐμάρεια, vgl. προμήθεια und προμηθία, ἀήθεια und ἀηθία, εὐήθεια und εὐηθία u. ä.

211f. λέχος, torus, Lagergenossin, wie Eur. Iphig. A. 389 ὅστις ἀπολέσας κακὸν λέχος ἀναλαβεῖν θέλεις. Andr. 907 ἄλλην τιν' εὐνὴν ἀντὶ σοῦ στέργει πόσις; — ἀνέχειν, hochhalten, wie Eur. Hec. 121 τῆς μαντιπόλου βάκχης (Κασάνδρας) ἀνέχων λέκτρ' Ἀγαμέμνων. Pind. Pyth. 2. 89 χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν, ὃς ἀνέχει ποτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν μέγα κῦδος.

213. ὑπείποις, dicendo suggeras, wie ὑποτίθεσθαι. Vgl. 262. 1091. El. 834 ἐλπίδ' ὑποίσεις.

217. ἀπελωβήθη, penitus dehonestatus est, vgl. ἐξελωβήθην Phil. 330. Mit νύκτερος vgl. 929.

χειροδάικτα σφάγι' αἱμοβαφῆ,
κείνου χρηστήρια τἀνδρός.

ΧΟΡΟΣ.

στροφή.

οἷαν ἐδήλωσας
ἀνέρος αἴθονος ἀγγελίαν,
ἄτλατον οὐδὲ φευκτάν,
τῶν μεγάλων Δαναῶν ὕπο κληζομέναν,
τὰν ὁ πολὺς μῦθος ἀέξει.
οἴμοι, φοβοῦμαι τὸ προσέρπον· περίφαντος ἀνὴρ
θανεῖται, παραπλήκτῳ χερὶ συγκατακτὰς
κελαινοῖς ξίφεσιν βοτὰ καὶ βοτῆρας ἱπποκόμους.

219. αἱμοβαφῆ, eigentlich mit Blut gefärbt, wie die Purpurkleider πορφυροβαφεῖς ἐσθῆτες heissen. Vgl. oben 95 ἔβαψας ἔγχος.

220. χρηστήρια, ἱερεῖα, wie Aesch. Sept. 230 σφάγια καὶ χρηστήρια θεοῖσιν ἕρδειν. Aber hier mit schmerzlicher Ironie, die im Wahnsinn hingeopferten Thiere, während sie eigentlich den Göttern gebührten.

222. ἀγγελία ἀνέρος, vgl. 998 βάξις σου. — αἴθονος ist eine ungewöhnliche Flexion statt αἴθωνος. Vgl. Hesiod. Op. 363 ὃ δ' ἀλύξεται αἴθονα λιμόν, wo andere unpassend αἴθοπα λιμόν lesen, wie auch hier die Variante αἴθοπος sich findet. (Für die richtige Lesart αἴθονα λιμόν bürgen das Epigramm bei Aeschines 3, 184 und Kallim. Hymn. in Cer. 68.) Auch νήφων νήφονος bei Theognis lässt sich mit αἴθονος zusammenstellen, desgleichen das Schwanken der Flexion in πρηών, Ἀκταίων, Αἴσων und anderen Wörtern, wo der Genetiv bald auf ωνος bald auf ονος ausgeht. Ueber die metaphorische Anwendung von αἴθων vgl. Aesch. Sept. 448 ἀνὴρ αἴθων λῆμα, Eur. Rhes. 122 αἴθων γὰρ ἀνὴρ καὶ πεπύργωται θράσει.

223. φευκτάν, weil überallhin verbreitet.

225f. Die μεγάλοι Δαναοί sind die Fürsten, durch welche die Kunde unter das Volk gebracht ist (189), πολὺς μῦθος, die durch das Volk verbreitete Kunde.

229f. Er wird offenbar (vor aller Augen, vgl. 66. 81. 1311) sterben, womit der Chor unbewusst den Selbstmord des Aias weissagt, während er selbst nur meint, eine Fortdauer des Lebens sei unter solchen Umständen nicht mehr denkbar, möge nun die Krankheit ihn hinraffen oder die Rache der Achäer (254). — συγκατακτάς, die Präpos. zu fassen wie in dem Homerischen σὺν δὲ νεφέεσσι κάλυψε γαῖαν ὀμοῦ καὶ πόντον.

231. κελαινὰ ξίφη, funesta, wie Trach. 856 κελαινὰ λόγχα προμάχου δορός. Der Plur. wie öfter μάχαιραι, βάκτρα, σκῆπτρα. Vgl. ἰοί Trach. 574, γένυες El. 196.

232. ἱπποκόμους, weil auch Rosse mit auf die Weide getrieben wurden, vgl. 144. Der Chor combinirt die früher ihm zu Ohren ge-

ΤΕΚΜΗΣΣΑ.

ὤμοι· κεῖθεν κεῖθεν ἄρ᾽ ἡμῖν
δεσμῶτιν ἄγων ἦλυθε ποίμνην·
ὧν τὴν μὲν ἔσω σφάζ᾽ ἐπὶ γαίας,
τὰ δὲ πλευροκοπῶν δίχ᾽ ἀνερρήγνυ.
δύο δ᾽ ἀργίποδας κριοὺς ἀνελών,
τοῦ μὲν κεφαλὴν καὶ γλῶσσαν ἄκραν
ῥίπτει θερίσας,
τὸν δ᾽ ὀρθὸν ἄνω κίονι δήσας
μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν
παίει λιγυρᾷ μάστιγι διπλῇ,
κακὰ δεννάζων ῥήμαθ᾽, ἃ δαίμων
κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν.

ΧΟΡΟΣ.

ἀντιστροφή.

ὥρα τιν᾽ ἤδη τοι
κρᾶτα καλύμμασι κρυψάμενον

kommene Kunde mit der Bestätigung durch Tekm., dass Aias der Thäter sei. Denn diese hat die Ermordung der Hirten nicht erwähnt.

235. *ὤν, ποιμνίων*, dem Sinne nach auf den collectiven Begriff *ποίμνην* bezogen. — *τὴν μέν, ποίμνην*, einen Theil der Heerde. Vgl. 298 ff. — *ἔσω σφάζε*, stach todt, vgl. Aesch. Ag. 1343 *πέπληγμαι καιρίαν πληγὴν ἔσω*.

237. *ἀνελών, ἀνελόμενος, λαβών*. — In den beiden Widdern sieht Aias vermuthlich Agamemnon und Menelaos; dem Agamemnon sollte die Zunge ausgeschnitten werden, weil er den Richterspruch verkündigt hatte. Wenn Aias schon 56 f. die Atriden getödtet zu haben glaubte, so konnte er doch im Zelte von neuem seine Wuth am Agamemnon auszulassen meinen, da Athene ihn *εἰσέβαλεν εἰς ἕρκη κακά*, indem sie ihn in immer grössere Raserei versetzte.

238. *γλῶσσαν ἄκραν*, Homers *πρυμνὴν γλῶσσαν, extremo palato tenus*, vgl. Phil. 748 *ἄκρον πόδα*.

240. Vgl. zu 108.

241 f. *διπλώσας τὸν χαλινὸν παίει τὸν κριὸν ὡς ὀξυφώνῳ μάστιγι* (Schol.). Vgl. zu O. R. 809.

243 f. Auch Tekmessa sieht in Aias' Beginnen eine *θεία νόσος*, wie der Chor 186. Im O. R. 1258 sucht Oedipus die Iokaste und *λυσσῶντι δαιμόνων δείκνυσί τις, οὐδεὶς γὰρ ἀνδρῶν*. Vgl. El. 199 *εἴτ᾽ οὖν θεὸς εἴτε βροτῶν ἦν ὁ ταῦτα πράσσων*.

246. Od. 8 92, *ἂψ Ὀδυσεὺς κατὰ κρᾶτα καλυψάμενος γοάασκεν*. Bei grossem Leid wie bei der Annäherung des Todes pflegten sich die Alten den Kopf zu verhüllen, *ἐγκαλύψασθαι, caput obvolvere, operire, velare*, wie Sokrates bei Platon, Kyros Xen. Cyr. 8, 7, 28. Vgl. Liv. 4, 12 *multi ex plebe capitibus obvolutis se in Tiberim praecipitaverunt*. Hor. Sat. 2, 3, 37 *cum vellem mittere operto me capite in flumen*.

ποδοῖν κλοπὰν ἀρέσθαι,
ἢ θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον
ποντοπόρῳ ναΐ μεθεῖναι.
τοίας ἐρέσσουσιν ἀπειλὰς δικρατεῖς Ἀτρεῖδαι
καθ᾽ ἡμῶν· πεφόβημαι λιθόλευστον Ἄρη
ξυναλγεῖν μετὰ τοῦδε τυπείς, τὸν αἶσ᾽ ἄπλατος ἴσχει.

ΤΕΚΜΗΣΣΑ.

οὐκέτι· λαμπρᾶς γὰρ ἄτερ στεροπῆς
ᾄξας ὀξὺς νότος ὡς λήγει.
καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει·
τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

ἐρέσσουσιν will man durch *συντόνως κινοῦσιν* erklären aber *ἐρέσσειν ἀπειλήν* lässt sich weder nachweisen noch durch ähnliche Wendungen stützen. — *δικρατεῖς*, zu 390.

247 ff. Jetzt ist es Zeit, dass man entweder schleunigst davonläuft oder zu Schiffe geht. — *ποδοῖν κλοπὰν ἀρέσθαι*, wie sonst *αἴρεσθαι φυγήν*. — *ποδοῖν* und *ναΐ* bilden einen Gegensatz. Der Chor konnte einfacher sagen: *θοὰν εἰρεσίαν ναΐ μεθεῖναι*, rasches Rudern dem Schiffe freigeben, insofern dichterisch den unthätig rastenden Schiffen Lust beigelegt wird, ihre Ruder in Bewegung gesetzt zu sehen, ähnlich *vela dare rati, τῷ χαλινῷ ἐφιέναι τὸν ἵππον, βέλη λιλαιόμενα χροὸς ἆσαι*, und bei Plautus Mil. glor. 5 muss die *machaera* geröstet werden, dass sie lange *feriata gestitatur*. Weil aber dem *ποδοῖν κλ. ἀρ.* das Absegeln entgegengesetzt werden soll, tritt hinzu *ἑζόμενον* (die Ruderbänke besetzend, vgl. Krüger Gr. II § 46, 6 Anm. 2), welchem sich *θοὸν εἰρ. ζυγόν* verbindet, woraus zu *ναΐ μεθ.* nur *εἰρεσίαν* zu denken ist.

251. *ἐρέσσουσιν* will man

253. *λιθόλευστον Ἄρη*, vgl. 230. In heroischer Zeit ist die Steinigung die gewöhnliche Art gewaltsamer Ermordung durch die tobende Menge oder von Fürsten verhängter Strafe: *φόνος δημόλευστος* Ant. 36. *δημορριφεῖς λευσίμους ἀράς* Aesch. Agam. 1616. *λεύσιμος δίκη* Eur. Heracl. 60. Vgl. unten 727 f. O. C. 435. Il. 3, 57 *ἦ τέ κεν ἤδη λάινον ἕσσο χιτῶνα κακῶν ἕνεχ᾽ ὅσσα ἔοργας*.

256. *αἶσ᾽ ἄπλατος, ἡ μανία*. Der Ausdruck ist absichtlich unbestimmt gehalten.

257 ff. *οὐκέτι*, nämlich *ἄπλατος αἶσα* (oder *μανία*) *ἔχει αὐτόν*. Rasch hat Aias' Toben sich gelegt, wie der Süd, welcher ohne Gewitter losstürmt. Unaufhörliche Leidenschaft vergleicht dagegen Ibykos fr. 1, 7 p. 761 mit dem *ὑπὸ στεροπᾶς φλέγων Θρηίκιος βορέας*.

260. *οἰκεῖα πάθη*, vgl. Trach. 730 *ᾧ μηδέν ἐστ᾽ οἶκοι βαρύ*.

261. *ἡ γὰρ κοινωνία τῶν ἁμαρ-*

ΧΟΡΟΣ.

ἀλλ᾽ εἰ πέπανται, κάρτ᾽ ἂν εὐτυχεῖν δοκῶ·
φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.

ΤΕΚΜΗΣΣΑ.

πότερα δ᾽ ἄν, εἰ νέμοι τις αἵρεσιν, λάβοις,
φίλους ἀνιῶν αὐτὸς ἡδονὰς ἔχειν
ἢ κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι ξυνών;

ΧΟΡΟΣ.

τό τοι διπλάζον, ὦ γύναι, μεῖζον κακόν.

ΤΕΚΜΗΣΣΑ.

ἡμεῖς ἄρ᾽ οὐ νοσοῦντες ἀτώμεσθα νῦν.

ΧΟΡΟΣ.

πῶς τοῦτ᾽ ἔλεξας; οὐ κάτοιδ᾽ ὅπως λέγεις.

ΤΕΚΜΗΣΣΑ.

ἀνὴρ ἐκεῖνος, ἡνίκ᾽ ἦν ἐν τῇ νόσῳ,
αὐτὸς μὲν ἥδεθ᾽ οἷσιν εἶχετ᾽ ἐν κακοῖς,
ἡμᾶς δὲ τοὺς φρονοῦντας ἠνία ξυνών·
νῦν δ᾽ ὡς ἔληξε κἀνέπνευσε τῆς νόσου,
κεῖνός τε λύπῃ πᾶς ἐλήλαται κακῇ

τημάτων φέρει τινὰ παραμυθίαν (Schol.).

263 ff. Der Chor findet nach der Mittheilung der Tekmessa den Zustand des Aias nicht eben bedenklich und meint, wenn die Tobwuth sich gelegt habe, so könne man das Beste hoffen (*κάρτα ἂν εὐτυχοίη ὁ Αἴας*), indem Aias' Gemüth sich schon beruhigen werde. Diesen zu raschen Ausbruch freudiger Hoffnung dämpft Tekmessa 265 ff. durch die Bemerkung, dass genau betrachtet die Lage des Aias und der ihn liebenden jetzt doppelt schlimm sei, sofern früher nur die Umgebung des Aias sich unglücklich fühlte, jetzt dagegen auch Aias selbst leide und seine Umgebung nicht minder als vorher.

264. Soph. fr. 345 *μόχθου γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.*

266. Vgl. 273.

267. *κοινὸς ἐν κοινοῖσι*, wie 620 *ἄφιλα παρ᾽ ἀφίλοις*. 735 *νέας βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις*. 1283 *Ἕκτορος μόνος μόνου ἐναντίος*. Phil. 135 *ἐν ξένῃ ξένον*. O. R. 222 *ἀστὸς εἰς ἀστοὺς τελῶ*. Ant. 73 *φίλη μετ᾽ αὐτοῦ κείσομαι, φίλου μέτα*. Eur. Ion. 641 *κακὸς ἐν κακοῖσιν*.

269. Gibt der Chor zu, dass *τὸ διπλάζον κακὸν μεῖζόν ἐστιν*, so folgert Tekmessa, dass sie jetzt schlimm geplagt seien, insofern der früher einseitige Schmerz nunmehr alle treffe. In dem jetzigen Texte vermisst man jedoch den wesentlichsten Begriff: Tekmessa muss sagen oder andeuten, dass die gegenwärtige Lage schlimmer sei als die frühere. Wie dem Fehler abzuhelfen sei, ist ungewiss.

275. *πᾶς, πάμπαν*, wie 519. 728, vgl. zu Ant. 776.

ἡμεῖς θ᾽ ὁμοίως οὐδὲν ἧσσον ἢ πάρος.
ἆρ᾽ ἔστι ταῦτα δὶς τόσ᾽ ἐξ ἁπλῶν κακά;

ΧΟΡΟΣ.

ξύμφημι δή σοι, καὶ δέδοικα μὴ ἐκ θεοῦ
πληγή τις ἥκει· πῶς γάρ, εἰ πεπαυμένος
μηδέν τι μᾶλλον ἢ νοσῶν εὐφραίνεται;

ΤΕΚΜΗΣΣΑ.

ὡς ὧδ᾽ ἐχόντων τῶνδ᾽ ἐπίστασθαί σε χρή.

ΧΟΡΟΣ.

τίς γάρ ποτ᾽ ἀρχὴ τοῦ κακοῦ προσέπτατο;
δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχαις.

ΤΕΚΜΗΣΣΑ.

ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὤν.
κεῖνος γὰρ ἄκρας νυκτός, ἡνίχ᾽ ἕσπεροι

277. *ἆρα* = *ἆρ᾽ οὐχί, nonne*, doch wohl, vgl. O. R. 822. O. C. 753. 780. El. 614. — *δὶς τόσ᾽ ἐξ ἁπλῶν*, wie Trach. 619 *ἐξ ἁπλῆς διπλῆ*.

278 f. Der Chor besorgt, ein dämonisches Unheil verfolge den Aias, das noch weitere schlimme Folgen befürchten lasse, vgl. 243 f. Damit wiederholt er keineswegs die Summa dessen was Tekm. zeigen wollte, sondern kehrt nun zu 263 und der Hauptperson des Dramas allein zurück.

279. Ueber den Indicativus *ἥκει* zu El. 580 f. — *πῶς γάρ, πῶς οὐκ ἂν θεῖόν τι εἴη;*

280. *εἰ μηδέν τι μᾶλλον εὐφρ.*, denn die tolle Mordlust 272 (vgl. 52) ist von ruhiger Heiterkeit (*εὐφροσύνη*) des Gemüths gar verschieden. Mit *μηδέν τι μᾶλλον* vgl. Eur. Alc. 522 *οὐδέν τι μᾶλλον οἶδα*. Herod. 4, 118 *ἥκει ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ᾽ ἡμέας ἢ οὐ καὶ ἐπ᾽ ὑμέας*.

281. 'Was du als eine Besorgniss aussprichst, dass von Seiten der Götter den Aias ein Schlag getroffen, das kannst du geradezu als thatsächlich annehmen'. — *ὡς ὧδ᾽ ἐχόντων τῶνδε = ἡγούμενον ταῦτα ὧδε ἔχειν*. Aesch. Prom. 760 *ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα*. Eur. Med. 1311 *ὡς οὐκέτ᾽ ὄντων σῶν τέκνων φρόντιζε δή*. Thuk. 7, 15 *ὡς τῶν στρατιωτῶν ὑμῖν μὴ μεμπτῶν γεγενημένων οὕτω τὴν γνώμην ἔχετε*. Vgl. zu 904. Trach. 394. O. R. 848.

282. *προσέπτατο*, wie Aesch. Prom. 644 *θεόσυτον χειμῶνα καὶ διαφθορὰν μορφῆς, ὅθεν μοι σχετλίᾳ προσέπτατο*. Eur. Alc. 421 *οὐκ ἄφνω κακὸν τόδε προσέπτατο*.

283. *ξυναλγοῦσιν τύχαις*, die wir Theil nehmen an dem Unglück des Aias. Durch *ξυναλγεῖν* (den Schmerz eines andern theilen; entsprechend *συνήδεσθαι*) wird das an sich unbestimmte *τύχαι* fest begränzt. Aesch. Prom. 288 *ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ*. Moschion fr. 10, 10 p. 634 *τύχαις συναλγῶν*.

285. *ἄκρας νυκτός* wird durch den Zusatz: als die abendlichen Lichter (*foculi*) erloschen waren, als Mitternacht, *noæ intempesta, περὶ πρῶ-*

λαμπτῆρες οὐκέτ᾽ ἦθον, ἄμφηκες λαβὼν
ἐμαίετ᾽ ἔγχος ἐξόδους ἕρπειν κενάς.
κἀγὼ ἐπιπλήσσω καὶ λέγω· τί χρῆμα δρᾷς,
Αἴας; τί τήνδ᾽ ἄκλητος οὔθ᾽ ὑπ᾽ ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὃ δ᾽ εἶπε πρός με βαί᾽, ἀεὶ δ᾽ ὑμνούμενα·
γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ᾽ ἔληξ᾽, ὃ δ᾽ ἐσσύθη μόνος.
καὶ τἀς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν πάθας·
ἔσω δ᾽ ἐσῆλθε συνδέτους ἄγων ὁμοῦ
ταύρους, κύνας βοτῆρας εὑρόν τ᾽ ἄγραν.
καὶ τοὺς μὲν ηὐχένιζε, τοὺς δ᾽ ἄνω τρέπων
ἔσφαζε καὶ ῥάχιζε, τοὺς δὲ δεσμίους
ἠκίζεθ᾽, ὥστε φῶτας, ἐν ποίμναις πίτνων.
τέλος δ᾽ ἀπᾴξας διὰ θυρῶν, σκιᾷ τινι
λόγους ἀνέσπα τοὺς μὲν Ἀτρειδῶν κάτα,

290 295 300

τον ὕπνον, νυκτὸς ἐν ἀκμῇ οὔσης bezeichnet, wo alles fest schläft. Vgl. Od. 18, 307 αὐτίκα λαμπτῆρας τρεῖς ἵστασαν ἐν μεγάροισιν, ὄφρα φαείνοιεν. Diese λαμπτῆρες waren διαφανῆ κέρατα, ἐν οἷς ἐνετίθεντο αἱ λαμπάδες.

287. ἐξόδους ἕρπειν, wie 42 ἐπεμπίπτει βάσιν, 290 ἀφορμᾶς πεῖραν. Vgl. zu Trach. 155 f.

289 f. Vgl. Trach. 291 οὐκ ἐμῶν ὑπ᾽ ἀγγέλων, ἀλλ᾽ αὐτόκλητος ἐκ δόμων πορεύεται.

291. Die σάλπιγξ ist anachronistisch der Heroenzeit beigelegt, da Homer sie nicht kennt, ausser Il. 18, 219 in einem Vergleich, s. zu 17.

292. ἀεὶ ὑμν., τὰ πολυθρύλητα ἐκεῖνα. Eur. Phoen. 438 πάλαι μὲν οὖν ὑμνηθέν, ἀλλ᾽ ὅμως ἐρῶ.

293. Vgl. Hektors Worte an Andromache Il. 6, 490 ff.

294. μαθοῦσα, nachdem ich die oft eingeschärfte gute Lehre empfangen.

296. ἔσω δ᾽ ἐσῆλθε, wie El. 802 εἴσιθ᾽ εἴσω.

297. Da die ταῦροι einen wesentlichen Theil der εὔκερως ἄγρα ausmachen, so kann nicht εὑρόν τ᾽ ἄγραν, wie man bisher las, selbständig den Stieren und Hunden zur Seite treten. Durch εὑρόντ᾽ ἄγραν gewinnen wir die Schafheerden, die hier nicht fehlen durften, vgl. 62 ff.

298. ἄνω τρέπων (αὐχένων) ἔσφαζε, *resupinans caput guttur feriebat*, vgl. 235 ff.

300. ὥστε φῶτας, wie oben 64 ὡς ἄνδρας.

301. σκιᾷ τινι, indem Tekmessa im Zelte meinte, Aias habe in seinem Wahn mit einem Trugbilde gesprochen.

302. ἀνασπᾶν, aus der Tiefe der Brust heraufholen, wie Menander Com. 4 p. 199 πόθεν γάρ, ὦ φίλοι θεοί, τούτους ἀνεσπάκασιν οὗτοι τοὺς λόγους; Plat. Theaet.

τοὺς δ᾽ ἀμφ᾽ Ὀδυσσεῖ, συντιθεὶς γέλων πολύν,
ὅσην κατ᾽ αὐτῶν ὕβριν ἐκτίσαιτ᾽ Ἰών.
κἄπειτ᾽ ἐσάξας αὖθις ἐς δόμους πάλιν,
ἔμφρων μόλις πως ξὺν χρόνῳ καθίσταται,
καὶ πλῆρες ἄτης ὡς διοπτεύει στέγος,
παίσας κάρα ἐθώυξεν· ἐν δ᾽ ἐρειπίοις
νεκρῶν ἐρειφθεὶς ἕζετ᾽ ἀρνείου φόνου,
κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερί.
καὶ τὸν μὲν ἦστο πλεῖστον ἄφθογγος χρόνον·
ἔπειτ᾽ ἐμοὶ τὰ δεῖν᾽ ἐπηπείλησ᾽ ἔπη,
εἰ μὴ φανοίην πᾶν τὸ συντυχὸν πάθος.
[κἀνήρετ᾽ ἐν τῷ πράγματος κυροῖ ποτε.]

305 310

p. 180 A ὥσπερ ἐκ φαρέτρας ῥημάτισκια αἰνιγματώδη ἀνασπῶντες ἀποτοξεύουσιν.

303. συντιθείς, τοῖς λόγοις συμμιγνύς. Der Αἰάντειος γέλως wurde sprichwörtlich ἐπὶ τῶν παραφρόνως γελώντων.

304. ἐκτίσαιτο, nicht ἐκτίσοιτο, weil die ὕβρις des Aias gegen seine vermeintlichen Gegner damals wenigstens zum Theil schon vollbracht war. Auf die nächtliche ἔξοδος (287) weist Ἰών leise hin, welches wie μολών, παρών, ἔγων von den Tragikern gern zur Füllung der Rede beigefügt wird, um die Handlung lebendiger auszumalen: Phil. 353 εἰ τἀπὶ Τροίᾳ πέργαμ᾽ αἱρήσοιμ᾽ Ἰών. Ant. 768 δράτω, φρονείτω μεῖζον ἢ κατ᾽ ἄνδρ᾽ Ἰών, und oft.

308 f. Beide Genetive ἀρν. φόνου und νεκρῶν hängen von ἐν ἐρειπίοις ab, unter den hingestürzten Leichen des Heerdenmords. Vgl. 616 f. 872. — ἐν ἐρειπίοις ἐρειφθείς, wie ἐν ζυγοῖσι κνώδαλα ζευγνύναι ζεύγλαισι δουλεύοντα, κακαῖς νούσοισι κακοῦσθαι und ähnliche Zusammenstellungen von Wörtern desselben Stammes bei den Dichtern beliebt sind.

310. ὄνυξι neben χερί der Anschaulichkeit wegen, wie Eur. Phoen. 1374 ἔγχος ἐκ χερὸς τῆσδ᾽ ἀπ᾽ ὠλένης βαλεῖν. Bacch. 767 σιαγόνα δ᾽ ἐκ παρηίδων γλώσσῃ δράκοντες ἐξεφαίδρυνον χροός. Aehnlich λὰξ ποδὶ κινῆσαι, τῇ χειρὶ πὺξ παίειν, ὁδὰξ βῶλον ὀδοῦσι λάζεσθαι, vgl. zu Phil. 747 f. und die Figur καθ᾽ ὅλον καὶ μέρος zu Ant. 969 ff.

312. τὰ δεινὰ ἔπη = δεινότατα ἔπη. Vgl. 650 ὃς τὰ δεῖν᾽ ἐκαρτέρουν τότε. 1226 τὰ δεινὰ ῥήματα. Trach 476 ταύτης ὁ δεινὸς ἵμερός ποθ᾽ Ἡρακλῆ διῆλθε. Eur. Phoen. 179 ὃς τὰ δεινὰ τῇδ᾽ ἐφυβρίζει πόλει Καπανεύς. Iph. Taur. 1366 ὅθεν τὰ δεινὰ πλήγματ᾽ ἦν γενειάδων. Zugleich weist der Artikel auf etwas bekanntes hin, jene schrecklichen Worte, die mir noch in den Ohren klingen, wie Ant. 408 πρὸς σοῦ τὰ δεῖν᾽ ἐκεῖν᾽ ἐπηπειλημένοι. El. 376 φέρ᾽ εἰπὲ δὴ τὸ δεινόν.

313. φανοίην, Attischer Optativ fut. statt φανοῖμι, wie ἐροίη bei Xenophon. Vgl. Ant. 414 κινῶν ἄνδρ᾽ ἀνὴρ ἐπιρρόθοις κακοῖσιν, εἴ τις τοῦδ᾽ ἀκηδήσοι πόνου. Phil. 353 λόγος καλὸς προσῆν, εἰ τἀπὶ Τροίᾳ πέργαμ᾽ αἱρήσοιμ᾽ Ἰών.

314. ἐν τῷ πράγματος, vgl.

κἀγώ, φίλοι, δείσασα τοὐξειργασμένον
ἔλεξα πᾶν ὅσονπερ ἐξηπιστάμην.
ὃ δ' εὐθὺς ἐξῴμωξεν οἰμωγὰς λυγράς,
ἃς οὔποτ' αὐτοῦ πρόσθεν εἰσήκουσ' ἐγώ·
πρὸς γὰρ κακοῦ τε καὶ βαρυψύχου γόους
τοιούσδ' ἀεί ποτ' ἀνδρὸς ἐξηγεῖτ' ἔχειν·
ἀλλ' ἀψόφητος ὀξέων κωκυμάτων
ὑπεστέναζε, ταῦρος ὡς βρυχώμενος.
νῦν δ' ἐν τοιᾷδε κείμενος κακῇ τύχῃ
ἄσιτος ἀνὴρ ἄποτος ἐν μέσοις βοτοῖς
σιδηροκμῆσιν ἥσυχος θακεῖ πεσών·
καὶ δῆλός ἐστιν ὡς τι δρασείων κακόν.
[τοιαῦτα γάρ πως καὶ λέγει κὠδύρεται.]
ἀλλ' ὦ φίλοι, τούτων γὰρ εἵνεκ' ἐστάλην,
ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι·
φίλων γὰρ οἱ τοιοίδε νικῶνται λόγοις.

102 *ποῦ τύχης;* Ant. 1229 *ἐν τῷ συμφορᾶς;* Der ganze Vers ist überflüssig und nach den voraufgehenden Worten überaus matt.

315. ‘*Praeclare hic posita allocutio φίλοι, qua Tecmessa, dolens quod inconsiderata rei expositione Aiacem ita afflixerit, veniam videtur captare.*’ G. Hermann.

319f. *βαρύψυχος, καταπεπτωκὼς τὴν ψυχήν.* Verb. *ἐξηγεῖτο ἀεί ποτε* (Ant. 456) *πρὸς κακοῦ ἀνδρὸς* (nämlich *εἶναι*, wie 581 *οὐ πρὸς ἰατροῦ σοφοῦ*, 1071 *κακοῦ πρὸς ἀνδρός*) *τοιούσδε γόους ἔχειν*, d. h. *γοᾶσθαι*, wie *βοήν, κραυγὴν ἔχειν.*

321. *ἀψόφητος κωκυμάτων*, wie *κακῶν ἄνατος* O. C. 786, *ἀνήνεμος χειμώνων* O. C. 677, *ἄχαλκος ἀσπίδων* O. R. 190, *σκηνῆς ὕπαυλος* unten 796, um die nüchterne Negation oder Präposition durch einen volleren und gewählteren Ausdruck zu ersetzen. Vgl. zu Trach. 23.

322. *ταῦρος ὡς βρυχώμενος*, vgl. O. R. 1265 *δεινὰ βρυχηθεὶς τάλας.* Hier ist jedoch das Wort schwerlich richtig, da es sich mit dem halblauten Stöhnen (*ὑποστενάζειν*) auf keine Weise verträgt. Es muss wohl heissen, wie R. A. Morstadt gesehen hat, *βριμώμενος.*

324. *ἄσιτος ἄποτος*, wie bei Homer *ἄσιτος ἄπαστος ἐδητύος ἠδὲ ποτῆτος.*

325. *σιδηροκμῆσιν*, wie Aesch. Cho. 365 *δουρικμῆτι λαῷ.*

326. *δῆλος ὡς δρασείων*, wie Xenoph. Anab. 1, 5, 9 *δῆλος ἦν Κῦρος ὡς σπεύδων.* Lysias 12, 90 *δῆλοι ἔσεσθε ὡς ὀργιζόμενοι τοῖς πεπραγμένοις.* Ganz entsprechend O. C. 630 *ὡς τελῶν ἐφαίνετο.*

327. Der Verfasser dieses der Situation wenig angemessenen Verses scheint 383 benutzt zu haben.

330. Der Freunde Zuspruch vermag etwas über Leute von Aias' Art und in solcher Verfassung. Nach Homer *ἀγαθὴ παραίφασίς ἐστιν ἑταίρου*, vgl. O. C. 1193f.

ΧΟΡΟΣ.

Τέκμησσα, δεινά, παῖ Τελεύταντος, λέγεις
ἡμῖν, τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς.

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΤΕΚΜΗΣΣΑ.

τάχ', ὡς ἔοικε, μᾶλλον· ἢ οὐκ ἠκούσατε
Αἴαντος, οἷαν τήνδε θωύσσει βοήν;

ΑΙΑΣ.

ἰώ μοί μοι.

ΧΟΡΟΣ.

ἀνὴρ ἔοικεν ἢ νοσεῖν ἢ τοῖς πάλαι
νοσήμασι ξυνοῦσι λυπεῖσθαι παρών.

ΑΙΑΣ.

ἰὼ παῖ παῖ.

ΤΕΚΜΗΣΣΑ.

ὤμοι τάλαιν'· Εὐρύσακες, ἀμφὶ σοὶ βοᾷ.
τί ποτε μενοινᾷ; ποῦ ποτ' εἶ; τάλαιν' ἐγώ.

ΑΙΑΣ.

Τεῦκρον καλῶ· ποῦ Τεῦκρος; ἢ τὸν εἰς ἀεὶ
λεηλατήσει χρόνον; ἐγὼ δ' ἀπόλλυμαι.

334. *μᾶλλον*, näml. *λέξεις δεινά με λέγειν.* Vgl. O. C. 820 *τάχ' ἔξεις μᾶλλον οἰμώζειν τάδε.* — *ἢ οὐκ* einsilbig, vgl. O. R. 539. 555. 993. 1140. Krüger Gr. II § 13, 6 Anm. 2.

337. Vgl. 271ff.

338. *ξυνοῦσι*, zu O. C. 7. — *παρών*, er der gegenwärtig ist. Erträglicher wäre ein Begriff wie *φρονῶν* (vgl. 344). Aber auch *πάλαι* 337 ist bedenklich, wenn die Krankheit des Aias als gehoben bezeichnet werden soll. Vielleicht schrieb der Dichter: *ἢ νοσεῖν ἢ τοῖς πάρος νοσήμασι ξυνοῦσι λυπεῖσθαι πάλιν.*

340f. *ἀπορούσης τὸ ἦθος· τὸ μὲν ἀποιμώζει, τὸ δὲ καλεῖ τὸν παῖδα, εἶτα πρὸς ἑαυτὴν ἐπαπορεῖ, τί ποτε μενοινᾷ· καὶ πάλιν καλεῖ τὸν παῖδα καὶ ἑαυτὴν ἀπολοφύρεται* (Schol.). Ueber *ἀμφὶ σοί* zu Trach. 727. — *ποῦ ποτ' εἶ* ruft Tekmessa entsetzt aus, dass Eurysakes, den sie nach 531 vor Aias geborgen hatte, etwa nicht vor ihm sicher sei.

342. Aias springt vom Sohn hastig auf den Bruder über, dem er die Sorge für jenen anvertrauen will. Dieser ist auf einem Beutezuge entfernt, wie die Achäer vor Troja *ἐτράποντο πρὸς λῃστείαν τῆς τροφῆς ἀπορίᾳ* Thuk. 1, 11. Vgl. Il. 1, 366f. 9, 328ff.

343. *ἐγὼ δ' ἀπόλλυμαι, ἐμοῦ ἀπολλυμένου*, parataktisch, wie Od. 2, 312 *ἦ οὐχ ἅλις ὡς τὸ πάροιθεν ἐκείρετε πολλὰ καὶ*

ΧΟΡΟΣ.

ἀνὴρ φρονεῖν ἔοικεν. ἀλλ' ἀνοίγετε·
τάχ' ἄν τιν' αἰδῶ κἀπ' ἐμοὶ βλέψας λάβοι.

ΤΕΚΜΗΣΣΑ.

ἰδού, διοίγω· προσβλέπειν δ' ἔξεστί σοι
τὰ τοῦδε πράγη, καὐτὸς ὡς ἔχων κυρεῖ.

ΑΙΑΣ.

στροφὴ α.

ἰώ,
φίλοι ναυβάται, μόνοι ἐμῶν φίλων,
μόνοι ἔτ' ἐμμένοντες ὀρθῷ νόμῳ,
ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης
ἀμφίδρομον κυκλεῖται.

ΧΟΡΟΣ.

οἴμ', ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν ἄγαν·
δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει.

ἐσθλὰ κτήματ' ἐμά, μνηστῆρες, ἐγὼ δ' ἔτι νήπιος ἦα;

344. ἀνοίγετε oder ἀνοίξατε ist so üblich in dergleichen an irgend eine der im Hause befindlichen Personen gerichteten Aufforderungen, dass es auch steht wo der Befehl nur einem ertheilt wird, wie bei den Römischen Komikern *aperite aliquis*.

345. κἀπ' ἐμοὶ βλ., vielleicht wird schon mein Anblick den Aias vermögen, sein schmerzliches Jammern zu bemeistern.

348—427. 'Ihr, getreue Schiffsmannen, könnt allein mir helfen: erwürget mich, der ich über wehrlose Thiere herfiel, statt meine Feinde zu tödten. Möchte ich an ihnen, die jetzt schadenfroh hohnlachen, mich rächen und dann selbst sterben! Denn nur der Tod kann mir frommen.' Nachdem Aias mit immer mehr Fassung dieser Nothwendigkeit sich fügt, überblickt er im letzten Strophenpaare nochmals die zwingenden Motive zu diesem Schritt und ruft die Unterwelt an, ihn aufzunehmen. Dann nimmt er beruhigter in gefühlvollen Worten Abschied von der Troischen Landschaft, in der er durch jahrelangen Verkehr heimisch geworden ist.

351 ff. Den Seeleuten bezeichnet Aias seinen jetzigen Zustand mit einem aus ihrer Sphäre genommenen Bilde: von dem Wahnsinnssturme, der ihn zum Morden brachte, ist ein rings um ihn sich thürmendes Wogengedränge (zu O. R. 23 f.) erregt, so dass kein Weg, dem Unheil zu entkommen, ihm bleibt. — φοινία, welches eigentlich zu κῦμα gehört (zu 53), deutet auf die vergossenen Ströme Blutes, in deren Mitte er dasitzt. — ἴδεσθέ μ' οἷον — κυκλεῖται = ἴδεσθε οἷόν με κῦμα ἀμφικυκλεῖται, wie oft ähnlich ἴδεσθέ με, z. B. Aesch. Prom. 92 ἴδεσθέ μ' οἷα πρὸς θεῶν πάσχω θεός.

354 f. Der Chor leise zu Tekmessa. — ἀφροντίστως scheint unrichtig: man erwartet den Sinn

ΑΙΑΣ.

ἀντιστροφὴ α.

ἰώ,
γένος ναΐας ἀρωγὸν τέχνας,
ἅλιον ὃς ἐπέβας ἐρέσσων πλάταν,
σέ τοι, σέ τοι μόνον δέδορκα πημονὰν ἐπαρκέσοντ'·
ἀλλά με συνδάιξον.

ΧΟΡΟΣ.

εὔφημα φώνει· μὴ κακὸν κακῷ διδοὺς
ἄκος, πλέον τὸ πῆμα τῆς ἄτης τίθει.

ΑΙΑΣ.

στροφὴ β.

ὁρᾷς τὸν θρασύν, τὸν εὐκάρδιον,
τὸν ἐν δαΐοις ἄτρεστον μάχαις,
ἐν ἀφόβοις με θηρσὶ δεινὸν χέρας;
οἴμοι γέλωτος, οἷον ὑβρίσθην ἄρα.

ΤΕΚΜΗΣΣΑ.

μή, δέσποτ' Αἴας, λίσσομαί σ', αὔδα τάδε.

'die That zeigt, in welchem traurigen Zustande Aias sich befindet.'

357. γένος ναΐας ἀρ. τέχνας, κώπης ἄνακτες, *rerum nauticarum administri*, vgl. 201.

358. ὃς bezieht sich auf den in γένος liegenden Begriff ἀνήρ, ἀρωγός. Zu ἐπέβας ergänze man ἁλίου πλάτας aus dem von ἐρέσσων abhängigen ἅλιον πλάταν. Vgl. O. C. 41 τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων; — ἐρέσσων πλάταν, wie ναῦς ἠρέσσετο Aesch. Pers. 422 u. ä. Mit ἅλιον πλάταν ἐρέσσων vgl. O. C. 716 ἀ δ' εὐήρετμος ἁλία πλάτα θρώσκει. Eur. Hec. 39 πρὸς οἶκον εὐθύνοντας ἐναλίαν πλάτην. Heracl. 82 ἦ πέραθεν ἁλίῳ πλάτᾳ κατέχετ' ἐκλιπόντες Εὐβοΐδ' ἀκτάν;

360. Der Chor ist für Aias der einzige Retter in der Noth, in dem Sinne, wie die folgende Aufforderung angibt.

362. Da Aias den Chor aufgefordert hatte ihn zu tödten, so mahnt dieser ihn in ernstem Ton an den Gemeinspruch μὴ κακὸν κακῷ ἰᾶσθαι. Dieses von schlimmen Heilkünstlern entlehnte Sprichwort gebraucht Soph. auch fr. 75 ἐνταῦθα μέντοι πάντα τἀνθρώπων νοσεῖ, κακοῖς ὅταν θέλωσιν ἰᾶσθαι κακά. Vgl. Aesch. fr. 339 μὴ κακοῖς ἰῶ κακά. Herod. 3, 53 μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ.

363. τὸ πῆμα τῆς ἄτης, wie πῆμα κακοῦ Od. 3, 152. τὸ πῆμα τῆς νόσου Phil. 765. Aehnliches zu Trach. 20.

366. Gegen φοβεροὶ θῆρες zu kämpfen wäre ehrenvoll, sich an ἄφοβοι (φέβον μὴ ἐμποιοῦντες, *cicures bestiae*) zu vergreifen ist unehrenhaft. Mit ἐν θηρσὶ δ. vgl. 1092 ἐν θανοῦσιν ὑβριστής. 453 ἐν τοιοῖσδε χεῖρας αἱμάξαι βοτοῖς. 1315 ἐν ἐμοὶ θρασύς.

367. ὑβρίσθην, wie 217 ἀπελωβήθη.

368. Tekmessa streckt flehend ihre Hände nach Aias aus oder will

ΑΙΑΣ.

οὐκ ἐκτὸς ἄψορρον ἐκνεμεῖ πόδα;
αἰαῖ αἰαῖ.

ΤΕΚΜΗΣΣΑ.

ὦ πρὸς θεῶν ὕπεικε καὶ φρόνησον εὖ.

ΑΙΑΣ.

ὦ δύσμορος, ὃς χεροῖν
μεθῆκα τοὺς ἀλάστορας, ἐν δ' ἐλίκεσσι
βουσὶ καὶ κλυτοῖς πεσὼν αἰπολίοις
ἐρεμνὸν αἷμ' ἔδευσα.

ΧΟΡΟΣ.

τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ΑΙΑΣ.

ἀντιστροφὴ β.

αὑτῷ δὲ τερπνός· ὧν γὰρ ἠράσθη τυχεῖν
ἐκτήσαθ᾽ αὑτῷ, θάνατον ὅνπερ ἤθελεν.

959. *ξύν τε*, vgl. 1288 *ὅδ᾽ ἦν ὁ πράσσων ταῦτα, σὺν δ᾽ ἐγὼ παρών*. Ant. 85 *κρυφῇ δὲ κεὖθε, σὺν δ᾽ αὖτος ἐγώ*. — *διπλοῖ* dichterisch statt *δύο*, vgl. Phil. 793 *διπλοῖ στρατηλάται*. 1224 *διπλῶν στρατηγῶν*.

961. *οἳ δ᾽ οὖν*, abschliessend, immerhin, meinethalben, vgl. 114. zu Trach. 329. Arist. Ach. 186 *οἳ δ᾽ οὖν βοώντων*.

963. *ἐν χρείᾳ δορός*, *in desiderio hastae eius*, wo es auf seine Hilfe im Kriege ankommt.

965. *πρίν τις ἐκβάλῃ*, *πρὶν ἂν ἐκβάλωσιν*, *στερηθῶσιν αὐτοῦ*. Ueber die Auslassung des *ἄν* vgl. Phil. 917 *μὴ στέναζε, πρὶν μάθῃς*. Ant. 619 *πρὶν πυρὶ θερμῷ πόδα τις προσαύσῃ*. Trach. 608 *πρὶν κεῖνος αὐτὸν δείξῃ θεοῖσιν*. An die Stelle der *ἔχοντες* tritt *τις*, weil an manchen einzelnen jener Art dieses Schicksal sich bewahrheitet. Vgl. Plautus Capt. 1, 2, 33 *tum denique homines nostra intellegimus bona, cum quae in potestate habuimus, ea amisimus*. Horat. Carm. 3, 24, 31 *virtutem incolumem odimus, sublatam ex oculis quaerimus invidi.*

966 ff. ‘Mir macht sein Tod Kummer, wie seinen Feinden Freude (statt des unpassenden *τέθνηκεν ἤ* sollte man *τέθνηκεν ἤ* oder *τέθνηκε καὶ* erwarten) aber (und das ist die Hauptsache) ihm selbst ist er erwünscht gekommen. Die Antithese *ἐμοὶ πικρός, κείνοις γλυκύς, αὑτῷ τερπνὸς τέθνηκεν* klingt frostig, und die ganze Ausdrucksweise erscheint als ziemlich ungeschickt. Der begründende Satz *ὧν γὰρ ἠράσθη κτέ.* besagt nur, dass Aias sterben wollte und gestorben ist; nicht erfahren wir, weshalb dieser Tod für ihn eine Nothwendigkeit oder eine Genugthuung war. Nimmt man hinzu, dass die Verse 966—968 mit den vorhergehenden Worten und mit dem in 970 folgenden Gedanken in keinem Zusammenhange stehen, so wird man kaum umhin können, sie für interpolirt zu halten.

968. Mit *ὅνπερ ἤθελεν* (vgl. O. C. 1704 *ἔπραξεν οἷον ἤθελε*) wird das frühere *ἠράσθη* nochmals nachdrücklich hervorgehoben, wie 1089 *προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως μὴ τόνδε θάπτων αὐτὸς*

τί δῆτα τοῦδ' ἐπεγγελῷεν ἄν κάτα;
θεοῖς τέθνηκεν οὗτος, οὐ κείνοισιν, οὔ.]
πρὸς ταῦτ' Ὀδυσσεὺς ἐν κενοῖς ὑβριζέτω.
Αἴας γὰρ αὐτοῖς οὐκέτ' ἐστίν· ἀλλ' ἐμοὶ
λιπὼν ἀνίας καὶ γόους διοίχεται.

ΤΕΥΚΡΟΣ.

ἰὼ μοί μοι.

ΧΟΡΟΣ.

σίγησον· αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν
βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.

ΤΕΥΚΡΟΣ.

ὦ φίλτατ' Αἴας, ὡ ξύναιμον ὄμμ' ἐμοί,
ἆρ' ἠμπόληκας, ὥσπερ ἡ φάτις κρατεῖ;

εἰς ταφὰς πέσῃς. El. 762 τοῖς δ' ἰδοῦσιν, οἷπερ εἴδομεν, μέγιστα πάντων ὢν ὅπωπ' ἐγὼ κακῶν. Vgl. zu Ant. 468.

969. τοῦδε—κάτα, wie O. C. 1339 κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἀβρύνεται. Vgl. El. 835 κατ' ἐμοῦ μᾶλλον ἐπεμβάσει. Uebrigens entbehrt der vorstehende Vers der gesetzmässigen Cäsur: ist er echt, so kann ἐπεγγελῷεν an der jetzigen Stelle nicht richtig sein. Wahrscheinlich aber ist der mit 961 sich nicht wohl vertragende Vers dem Sophokles fremd.

970. Die Götter haben den Tod des Aias herbeigeführt, sofern er ihren Zorn büssen musste, nicht seine Feinde, deren Unrecht ihn nicht zum Selbstmord getrieben hat. Wäre dieser Gedanke richtig, so würde er keinen Trost für die Angehörigen und Freunde des Aias enthalten, sondern lediglich eine Vertheidigung der Gegner des Aias: die Gegner des Aias aber zu vertheidigen fehlt für die Tekmessa jeder Anlass. Auch dieser Vers scheint daher unecht. — οὐ κείνοισιν, οὔ, wie Ar. Ach. 421 οὐ Φοίνικος, οὔ. Men. Com. 4 p. 152 οὐκ ἔλαττον, οὔ, μὰ τὴν Ἀθηνᾶν.

971. ἐν κενοῖς, ματαίως, wie O. R. 287 ἐν ἀργοῖς. Vgl. 955 f. Odysseus kann ἐν κενοῖς ὑβρίζειν, weil Aias, nun er dahin ist, das ihm nicht wehren kann.

973. Ihm selbst ist wohl, die Feinde werden ihn schon vermissen, mir aber hat er schweren Kummer durch sein Scheiden bereitet. Aehnlich Trach. 41 πλὴν ἐμοὶ πικρὰς ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται.

974. Teukros ruft hinter der Scene.

975. σίγησον spricht der Chorführer zu seinen Genossen.

976. ἐπίσκοπον wird erklärt durch ἐστοχασμένον, wie ἐπίσκοπος τοξότης = ὁ τυγχάνων τοῦ σκοποῦ. Diese Erklärung ist völlig unbrauchbar, und nirgends lässt sich eine Anwendung des Wortes ἐπίσκοπος nachweisen, die der vorliegenden Stelle auch nur entfernt ähnlich wäre. Ohne Frage ist ἐπίσκοπον fehlerhaft.

977. ξύναιμον ὄμμα, Phil. 171. Eur. Orest. 1082 ὦ ποθεινὸν ὄμμ' (andere ὄνομ') ὁμιλίας ἐμῆς.

978. Entsetzt ruft Teukros beim Anblick der Leiche aus, also sei die ihm unterwegs zugekommene Kunde

ΧΟΡΟΣ.

ὄλωλεν ἀνήρ, Τεῦκρε, τοῦτ' ἐπίστασο.

ΤΕΥΚΡΟΣ.

ὤμοι βαρείας ἆρα τῆς ἐμῆς τύχης.

ΧΟΡΟΣ.

ὡς ὦδ' ἐχόντων

ΤΕΥΚΡΟΣ.

ὦ τάλας ἐγώ, τάλας.

ΧΟΡΟΣ.

πάρα στενάζειν.

ΤΕΥΚΡΟΣ.

ὦ περισπερχὲς πάθος.

ΧΟΡΟΣ.

ἄγαν γε, Τεῦκρε.

ΤΕΥΚΡΟΣ.

φεῦ τάλας. τί γὰρ τέκνον
τὸ τοῦδε, ποῦ μοι γῆς κυρεῖ τῆς Τρῳάδος;

ΧΟΡΟΣ.

μόνος παρὰ σκηναῖσιν.

ΤΕΥΚΡΟΣ.

οὐχ ὅσον τάχος
δῆτ' αὐτὸν ἄξεις δεῦρο, μή τις ὡς κενῆς

(998 f.) vom Schicksal des Aias wahr, was dann der Chor mit dem ὄλωλεν bestätigt. Ist die jetzige Lesart richtig, so wird ἠμπόληκας im Sinne von πέπραγας zu nehmen sein, wie etwa Agamemnon nach der Zerstörung Trojas Aesch. Eum. 631 τὰ πλεῖστ' ἄμεινον ἠμπολημκώς (= εὐπραγήσας) heisst. Mit φάτις κρατεῖ vgl. Aesch. Suppl. 294 καὶ φάτις πολλὴ κρατεῖ. Pers. 738 λόγος κρατεῖ σαφηνής. Entsprechend das prosaische ὁ λόγος κατέχει.

981. Vgl. 904.

983 f. τί γὰρ τέκνον — ποῦ κυρεῖ, vgl. oben 101 f.

985. μόνος kehrt trotz τέκνον zum natürlichen Geschlecht zurück, wie φίλε τέκνον bei Homer. Vgl. O. R. 1167 τῶν Λαΐου τοίνυν τις ἦν γεννημάτων. Eur. Suppl. 12 θανόντων ἑπτὰ γενναίων τέκνων, οὓς ποτ' Ἀργείων ἄναξ Ἄδραστος ἦγαγε. Andr. 570 τέκνου τε τοῦδ', ὃν οὐδὲν αἴτιον μέλλουσι κτανεῖν.

986. Auffallend ist δῆτα zu Anfang des Trimeters, wie ποτέ O. R. 1085. Mit κενῆς wird der Erfolg des ἀναρπάσαι vorweggenommen, s. zu 69. Ant. 424 ὄρνις ὅταν κενῆς εὐνῆς νεοσσῶν ὀρφανὸν βλέψῃ λέχος. Wie man der Löwin das Junge raubt, wenn sie vom Lager fern ist, so möchte man den allein am Zelte zurückgelassenen Eurysakes rauben, und wie die zurück-

σκύμνον λεαίνης δυσμενῶν ἁναρπάσῃ;
ἴθ', ἐγκόνει, σύγκαμνε· τοῖς ἐχθροῖσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν.

ΧΟΡΟΣ.

καὶ μὴν ἔτι ζῶν, Τεῦκρε, τοῦδέ σοι μέλειν
ἐφίεθ' ἀνὴρ κεῖνος, ὥσπερ οὖν μέλει.

ΤΕΥΚΡΟΣ.

ὦ τῶν ἁπάντων δὴ θεαμάτων ἐμοὶ
ἄλγιστον ὧν προσεῖδον ὀφθαλμοῖς ἐγώ,
ὁδῶν θ' ἁπασῶν ὁδὸς ἀνιάσασα δὴ
μάλιστα τοὐμὸν σπλάγχνον, ἣν δὴ νῦν ἔβην,
ὦ φίλτατ' Αἴας, τὸν σὸν ὡς ἐπησθόμην
μόρον διώκων καξιχνοσκοπούμενος.
ὀξεῖα γάρ σου βάξις ὡς θεοῦ τινος
διῆλθ' Ἀχαιοὺς πάντας, ὡς οἴχει θανών.
ἀγὼ κλύων δύστηνος ἐκποδὼν μὲν ὢν
ὑπεστέναζον, νῦν δ' ὁρῶν ἀπόλλυμαι.
οἴμοι.
ἴθ' ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακόν.
ὦ δυσθέατον ὄμμα καὶ τόλμης πικρᾶς,

kehrende Löwin würden wir dann vergebens wüthen. (Ein Scholiast erklärt κενὴ λέαινα durch ἐστερημένη τοῦ συζύγου, also — die verwittwete Löwin. Die des Aias beraubte Tekmessa mit einer Löwenwittwe zu vergleichen wäre unpassend, einmal weil Tekmessa nach dem Tode ihres Gemahls von Teukros beschützt wird, sodann besonders deshalb weil die Löwin auch ohne den Löwen stark genug ist um sich zur Wehr zu setzen.)

988 f. Aesch. Agam. 884 σύγγονον βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον. Archil. fr. 66 p. 550 οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομεῖν ἐπ' ἀνδράσιν.

990. Vgl. 560 ff.

994 f. Vgl. Ant. 1212 ἆρα δυστυχεστάτην κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν;

998. βάξις σου, das Gerücht von dir, vgl. 222; ὡς θεοῦ τινος (βάξις, oder βάζοντος, vgl. Trach. 768), wie von einem Gotte verbreitet. So hatte Zeus gewährt, was Aias 825 ff. erfleht hatte. Der 804 abgesandte Bote hat den Teukros verfehlt oder ist zu spät gekommen.

1003. Teukros redet einen Begleiter an: Tekmessa war 973 abgegangen, um Eurysakes zu holen.

1004. O grauser Anblick (ὄμμα steht nur hier im Sinne von θέαμα), und wehe des bittern Wagnisses! Der Dichter wechselt mit beiden in diesem Sinne gestatteten Casus ab, indem er den Vocativ setzt von dem was dem Blicke vorliegt, den Genetiv von dem was nur empfunden wird.

ὅσας ἀνίας μοι κατασπείρας φθίνεις.
ποῖ γὰρ μολεῖν μοι δυνατόν, εἰς ποίους βροτούς,
τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
ἦ πού με Τελαμών, σὸς πατὴρ ἐμός τ' ἴσως,
δέξαιτ' ἂν εὐπρόσωπος ἵλεώς τ', ἰδὼν
χωροῦντ' ἄνευ σοῦ. πῶς γὰρ οὔχ; ὅτῳ πάρα
μηδ' εὐτυχοῦντι μηδὲν ἵλεων γελᾶν.
οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακὸν
τὸν ἐκ [δορὸς] γεγῶτα [πολεμίου] νόθον,
τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σέ, φίλτατ' Αἴας, ἢ δόλοισιν, ὡς τὰ σὰ
κράτη θανόντος καὶ δόμους νέμοιμι σούς.
τοιαῦτ' ἀνὴρ δύσοργος, ἐν γήρᾳ βαρύς,
ἐρεῖ, πρὸς οὐδὲν εἰς ἔριν θυμούμενος.

1005. κατασπείρας, wie 953 φυτεύειν.

1007. ἀρήξαντ' ist vom Inf. μολεῖν abhängiger Accusativ, wie Il. 22, 109 ἐμοὶ δὲ τόσ' ἂν πολὺ κέρδιον εἴη, Ἀχιλῆα κατακτείναντα νέεσθαι. Aesch. Ag. 1610 οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί, ἰδόντι τοῦτον τῆς δίκης ἐν ἕρκεσιν. Soph. El. 480 ὑπεστέμοι θρᾶσος ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων. Vgl. zu O. R. 353. 824 f.

1008. ἴσως, *pariter*. Teukros legt einen besondern Nachdruck auf das dem Vater gegenüber ganz gleiche Verhältniss der Brüder, während von mütterlicher Seite Aias als παῖς γνήσιος den Vorzug hatte.

1009 f. Vgl. Eur. Med. 504 καλῶς γ' ἂν οὖν δέξαιντό μ' οἴκοις, ὧν πατέρα κατέκτανον.

1010. πῶς γὰρ οὔ; nämlich εὐπρόσωπος ἵλεώς τε δέξεταί με. Mit Bitterkeit gesprochen.

1011. μηδ' εὐτυχοῦντι μηδέν, nicht einmal wenn irgend ein Glück ihm zu Theil wird.

1012. τί κρύψει, näml. κακόν.

1013. νόθος ist Teukros als Sohn der kriegsgefangenen Hesione (vgl. 434 ff. 1300 ff.). Statt des abernen Ausdrucks ἐκ δορὸς πολεμίου 'von einem feindlichen Speere' kennte Sophokles, wie der Zusammenhang lehrt, nur Worte gebrauchen, welche den Sinn gaben ἐκ γυναικὸς αἰχμαλώτου, von einem als Kriegsbeute gewonnenen Weibe. Man erwartet τὸν ἐκ λέχους γεγῶτα δορίπονου νόθον. Vgl. unten 1288 σέ τοι, τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω.

1015. ἢ δόλοισιν. Sophokles hat auch diesen Zug der Sage entlehnt, die er selbst im Τεῦκρος behandelt hatte, dass der alte barsche Telamon dem Teukros vorgeworfen, er habe Aias' Tod veranlasst, s. Schol. Pind. Nem. 4, 76.

1017. δύσοργος, das Gegentheil von εὔοργος (πρᾶος, zu 196 f.), = δύστροπος, *intractabilis*. Es geht auf den Charakter im Allgemeinen, wie Phil. 377. — ἐν γήρᾳ βαρύς, zu O. R. 17 σὺν γήρᾳ βαρεῖς, 654 ἐν ὅρκῳ μέγαν.

1018. πρὸς οὐδέν, ἀληθὲς ἢ αἴτιον ἐμοί.

τέλος δ' ἀπωστὸς γῆς ἀπορριφθήσομαι,
δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανείς.
τοιαῦτα μὲν κατ' οἶκον· ἐν Τροίᾳ δέ μοι
πολλοὶ μὲν ἐχθροί, παῦρα δ' ὠφελήσιμα.
καὶ ταῦτα πάντα σοῦ θανόντος ηὑρόμην.
οἴμοι, τί δράσω; πῶς σ' ἀποσπάσω πικροῦ
τοῦδ' αἰόλου κνώδοντος, ὦ τάλας, ὑφ' οὗ
φονέως ἄρ' ἐξέπνευσας; εἶδες ὡς χρόνῳ
ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν;
[σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν.
Ἕκτωρ μέν, ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα
ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων
ἐκνάπτετ' αἰέν, ἔσθ' ἀπέψυξεν βίον.
οὗτος δ' ἐκείνου τήνδε δωρεὰν ἔχων,
πρὸς τοῦδ' ὅλωλε θανασίμῳ πεσήματι.

1019. ἀπωστὸς γῆς ἀπορρ., vgl. 830. — Was Teukros hier befürchtet, geschah der Sage nach wirklich, vgl. Hor. Carm. 1, 7, 21 ff. Vell. Pat. 1, 1 *Teucer non receptus a patre Telamone ob segnitiam non vindicatae fratris iniuriae Cyprum adpulsus cognominem patriae suae Salamina constituit.*

1020. λόγοισιν versteht man vom Gerede der Leute oder von den Scheltworten des greisen Telamon: beide Erklärungen muthen dem Dichter die grösste Undeutlichkeit zu und geben nicht einmal einen passenden Sinn.

1024. ἀποσπάσω, zu 907.

1025. αἰόλος, blitzend, blank, wie αἰόλος θώρηξ, ζωστήρ. Homer nennt dieses Schwert ἀργυρόηλον.

1026. ἄρα, wie man nun sehen kann, sollte dies Schwert dein Würger sein. Mit φονέως vgl. σφαγεύς 815. — εἶδες, ἔγνως, wurdest du nun gewahr?

1027. Il. 7, 303 (Ἕκτωρ Αἴαντι) δῶκε ξίφος ἀργυρόηλον, ξὺν κολεῷ τε φέρων καὶ ἐυτμήτῳ τελαμῶνι· Αἴας δὲ ζωστῆρα δίδου φοίνικι φαεινόν. Mit καὶ θανὼν ἀποφθ. vgl. Trach. 1163 ζῶντά μ' ἔκτεινεν θανών. Ant. 871 θανὼν ἔτ' οὖσαν κατήναρές με.

1028—39. Ueber die eingeklammerte Stelle vgl. den krit. Anhang.

1030. Statt des unverständlichen πρισθείς, zersägt, erwartet man den Begriff δεθείς, ἐξαφθείς, wie Achilleus bei Homer Hektors Leichnam ἐκ δίφροιο ἔδησεν, vgl. Il. 22, 395 ff.

1031. Der Dichter, welcher die zu 1027 angeführte Homerische Austauschung benutzt, um auch Teukros bestätigen zu lassen was Aias 665 sagte, ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα, ist von der Homerischen Erzählung Il. 22, 361 ff., wonach Achilleus den Leichnam des Hektor schleift, abgewichen, um unmittelbar jeden durch die Gabe des andern vernichtet werden zu lassen. Auf das langsame zu Tode Gemartertwerden geht αἰέν, in einem fort, da Achilleus erst ruhte nach dem Sterben des δρυπτόμενος, συρόμενος.

1033. πρὸς τοῦδε, τοῦ κνώδοντος.

1035. Aus dem speciellen ἐχάλκευσεν denke man zu ἐκεῖνον (nämlich ζωστῆρα) ein generelles Verbum, wie εἰργάσατο. Vgl. zu Phil. 706 f. — Die Erinys und Hades haben die verderblichen Werkzeuge gefertigt, wie Trach. 1051 die Erinyen das dem Herakles tödliche Gewand, wie sonst von Ἅιδου μάχαιραι, δίκτυον die Rede ist.

1037. μηχανᾶν ist in activer Form fast unerhört.

1038. ἐν γνώμῃ φίλα, wem dies nicht recht und nach Sinne ist. Prosaisch ἐν γνώμῃ, κατὰ νόον εἶναι. Mit der Schlussformel vgl. O. C. 1665 f. Ant. 469 f.

1039. κεῖνός τ' ἐκεῖνα, τὰ ἑαυτοῦ δόγματα, τάδε, τὰ ἐμά. Euenos fr. 1, 3 p. 474 ἀρκεῖ λόγος εἰς ὁ παλαιός· σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε. Eur. Suppl. 466 σοὶ μὲν δοκείτω ταῦτ', ἐμοὶ δὲ τἀντία.

1042 f. γελᾶν κακοῖς, wie 957 γελᾷ δὲ τοῖσι μαινομένοις ἄχεσιν.

1043. ἃ δή, sintemal, selten statt ἅτε oder οἷα, wie Simonides Amorg. fr. 1, 3 p. 576 ἐφήμεροι ἃ δὴ βροτὰ ζῶμεν. Menelaos erscheint hier, wie sonst bei den Tragikern, als Abbild des zu Sophokles' Zeiten in Athen übel berüchtigten Spartanischen Charakters.

1046. μαθεῖν οὐ δυσπετής, nicht schwer zu erkennen, wie Eur. Med. 1196 πλὴν τῷ τεκόντι κάρτα δυσπετὴς μαθεῖν.

1047 f. σὲ φωνῶ μὴ συγκομίζειν = σὺ μὴ συγκόμιζε, φωνῶ, wie O. R. 350 ἐννέπω σὲ τῷ κηρύγματι ὥπερ προεῖπας ἐμμένειν. El. 235 αὐδῶ μὴ τίκτειν σ' ἅταν ἅταις. Phil. 101 λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν. Trach.

ἆρ' οὐκ Ἐρινὺς τοῦτ' ἐχάλκευσεν ξίφος
κἀκεῖνον Ἅιδης, δημιουργὸς ἄγριος;
ἐγὼ μὲν οὖν καὶ ταῦτα καὶ τὰ πάντ' ἀεὶ
φάσκοιμ' ἂν ἀνθρώποισι μηχανᾶν θεούς·
ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
κεῖνός τ' ἐκεῖνα στεργέτω κἀγὼ τάδε.]

ΧΟΡΟΣ.

μὴ τεῖνε μακράν, ἀλλ' ὅπως κρύψεις τάφῳ
φράζου τὸν ἄνδρα, χὤ τι μυθήσει τάχα·
βλέπω γὰρ ἐχθρὸν φῶτα, καὶ τάχ' ἂν κακοῖς
γελῶν ἃ δὴ κακοῦργος ἐξίκοιτ' ἀνήρ.

ΤΕΥΚΡΟΣ.

τίς δ' ἔστι; μῶν τιν' ἄνδρα προσλεύσσεις στρατοῦ;

ΧΟΡΟΣ.

Μενέλαος, ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν.

ΤΕΥΚΡΟΣ.

ὁρῶ· μαθεῖν γὰρ ἐγγὺς ὢν οὐ δυσπετής.

ΜΕΝΕΛΑΟΣ.

οὗτος, σὲ φωνῶ τόνδε τὸν νεκρὸν χεροῖν

μὴ συγκομίζειν, ἀλλ' ἐᾶν ὅπως ἔχει.

ΤΕΥΚΡΟΣ.

τίνος χάριν τοσόνδ' ἀνήλωσας λόγον;

ΜΕΝΕΛΑΟΣ.

δοκοῦντ' ἐμοί, δοκοῦντα δ' ὃς κραίνει στρατοῦ.

ΤΕΥΚΡΟΣ.

οὐκ οὖν ἂν εἴποις, ἧντιν' αἰτίαν προθείς;

ΜΕΝΕΛΑΟΣ.

ὀθούνεκ' αὐτὸν ἐλπίσαντες οἴκοθεν
ἄγειν Ἀχαιοῖς ξύμμαχόν τε καὶ φίλον,
ἐξηύρομεν ζητοῦντες ἐχθίω Φρυγῶν·
ὅστις στρατῷ ξύμπαντι βουλεύσας φόνον
νύκτωρ ἐπεστράτευσεν, ὡς ἔλοι δόρει·
κεἰ μὴ θεῶν τις τήνδε πεῖραν ἔσβεσεν,
ἡμεῖς μὲν ἂν τήνδ' ἦν ὁδ' εἴληχεν τύχην
θανόντες ἂν προυκείμεθ' αἰσχίστῳ μόρῳ,
οὗτος δ' ἂν ἔζη· νῦν δ' ἐνήλλαξεν θεός

138 ἃ καὶ σὲ τὴν ἄνασσαν ἐλπίσιν λέγω τάδ' αἰὲν ἴσχειν. Statt des Accus. σέ könnte auch der Dat. σοί stehen, wie unten 1089 καί σοι προφωνῶ τόνδε μὴ θάπτειν. Trach. 468 σοὶ δ' ἐγὼ φράζω κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεί.

1049. τοσόνδε, ein so vermessenes, anmassendes Wort.

1050. Bitterer Hohn, wie bei Iuvenalis 6, 223 *hoc volo, sic iubeo: sit pro ratione voluntas.* Mit δοκοῦντα (ἐκείνῳ) ὃς κραίνει vgl. 1243. Trach. 1180 πείσομαι δ' (ἐκείνοις) ἃ σοι δοκεῖ. Phil. 957 θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην. Ant. 35 ὃς ἄν τούτων τι δρᾷ, φόνον προκεῖσθαι δημόλευστον. El. 1060 τροφᾶς (ἐκείνων) ἀφ' ὧν βλάστωσιν. Krüger Gr. II § 51, 11 Anm. 2. 3.

1051. προθείς, nämlich τοσόνδ' ἀνήλωσας λόγον.

1053. ἄγειν, vgl. 1097. Nicht ἄξειν, weil die ἐλπίς dauerte, als Aias dem Zuge sich angeschlossen hatte und vor Troja kämpfte.

1054. ζητοῦντες, ἐξετάζοντες, Gegensatz zu ἐλπίσαντες. Menelaos vergisst in schnödem Undank die ganze Vergangenheit des Aias und redet so, als habe dieser eben erst seinen Charakter im wahren Lichte gezeigt.

1058 f. Aus den Wendungen ἡμεῖς ἂν τήνδε τύχην ἐλάχομεν, ἣν ὅδ' εἴληχεν und ἡμεῖς ἂν τόνδε θάνατον (μόρον) ἐθάνομεν, ὃν ὅδ' ἔθανεν bildete Sophokles, wenn der jetzige Text richtig ist, den Ausdruck τήνδε τύχην ἐθάνομεν ἄν, wie Homer variirt ἀπολέσθαι αἰπὺν ὄλεθρον, κακὸν μόρον, κακὸν οἶτον, φθίνειν κακὸν οἶτον u. ä. Da jedoch τύχην θνήσκειν höchst auffallend bleibt, so möchte man lieber θανόντες in λαχόντες ändern. Mit προυκείμεθα vgl. 427 ἄτιμος ὧδε πρόκειμαι.

1060. νῦν δέ, so aber. — ἐνήλλαξεν θεός, ein Gott kehrte es um. Vgl. Eur. Hel. 712 σκέψαι γάρ, ὁ θεὸς ὅσον ἔχει τὸ ποικίλον καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει ἐκεῖσε κἀκεῖσ' ἀναφέρων. Rhes. 332 ὅρα τὸ μέλλον· πόλλ' (oft) ἀναστρέφει θεός. Od. 2, 67 θεῶν δ' ὑποδείσατε μῆνιν, μή τι μετασιρέψωσιν, ἀγασσάμενοι κακὰ ἔργα. Der folgende, stümperhaft ungeschickte Vers (1061) ist von einem Interpolator eingeschoben, der zu ἐνήλλαξεν ein Object vermisste.

[τὴν τοῦδ' ὕβριν πρὸς μῆλα καὶ ποίμνας πεσεῖν].
ὧν εἵνεκ' αὐτὸν οὔτις ἔστ' ἀνὴρ σθένων
τοσοῦτον ὥστε σῶμα τυμβεῦσαι τάφῳ·
ἀλλ' ἀμφὶ χλωρὰν ψάμαθον ἐκβεβλημένος
ὄρνισι φορβὴ παραλίοις γενήσεται.
πρὸς ταῦτα μηδὲν δεινὸν ἐξάρῃς μένος.
εἰ γὰρ βλέποντος μὴ ἐδυνήθημεν κρατεῖν,
πάντως θανόντος γ' ἄρξομεν, κἂν μὴ θέλῃς,
χερσὶν παρευθύνοντες· οὐ γὰρ ἔσθ' ὅπου
λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν.
καίτοι κακοῦ πρὸς ἀνδρός, ὄντα δημότην
μηδὲν δικαιοῦν τῶν ἐφεστώτων κλύειν.
οὐ γάρ ποτ' οὔτ' ἂν ἐν πόλει νόμοι καλῶς
φέροιντ' ἄν, ἔνθα μὴ καθεστήκῃ δέος,
οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι,

1062 f. αὐτόν hängt ab von τυμβεῦσαι. Gleichwohl setzte der Dichter nach den Worten οὔτις ἔστ' ἀνὴρ κτέ., indem er den Begriff, auf welchen es bei der Beerdigung ankommt, nachträglich hervorhebt, noch σῶμα, wie ähnlich 1147 ff. Trach. 1197. O. R. 819 καὶ τάδ' οὔτις ἄλλος ἦν ἢ ἐγὼ ἐπ' ἐμαυτῷ τάδ' ἀρᾶς ὁ προστιθείς. — τυμβεῦσαι τάφῳ, *rite condere.*

1065. Vgl. 830.

1066. ἐξάρῃς μένος, O. R. 914 ὑψοῦ αἴρει θυμόν. Vgl. zu Trach. 147.

1069 f. χερσὶν παρευθύνοντες, mit den Händen ihn lenkend (eigentl. ablenkend), ist hier sinnlos, da Todte sich nicht lenken lassen. Dass in παρευθύνοντες ein Begriff wie καθυβρίζοντες oder καταικίζοντες zu suchen sei, ist nicht glaublich: Menelaos will seine Herrschaft über den Todten nur darin bethätigen, dass er die Bestattung desselben hindert. — οὐ γὰρ ἔσθ' ὅπου, vgl. 1103. O. R. 448 οὐ γὰρ ἔσθ' ὅπου μ' ὀλεῖς.

1071 f. Das ist eines schlechten Mannes Sache, als Gemeiner sich aufzulehnen gegen die über ihm stehenden. — πρὸς ἀνδρός, wie 581 οὐ πρὸς ἰατροῦ σοφοῦ.

1073 f. Befolgung der Gesetze im Frieden, Gehorsam im Kriege werden gern verbunden, s. Ant. 672 ff. — καλῶς φέρεσθαι ist hier, wo von dem Bestande und der Wirksamkeit der Gesetze geredet zu werden scheint, auffallend. Wesentlich verschieden sind Redeweisen wie ἡ γεωργία εὖ φέρεται, τὰ πράγματα κακῶς φέρεται.

μηδὲν φόβου πρόβλημα μηδ' αἰδοῦς ἔχων.
ἀλλ' ἄνδρα χρή, κἂν σῶμα γεννήσῃ μέγα,
δοκεῖν πεσεῖν ἂν κἂν ἀπὸ σμικροῦ κακοῦ.
δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ,
σωτηρίαν ἔχοντα τόνδ' ἐπίστασο·
ὅπου δ' ὑβρίζειν δρᾶν θ' ἃ βούλεται παρῇ,
ταύτην νόμιζε τὴν πόλιν χρόνῳ ποτὲ
ἐξ οὐρίων δραμοῦσαν ἐς βυθὸν πεσεῖν.
ἀλλ' ἑστάτω μοι καὶ δέος τι καίριον,
καὶ μὴ δοκῶμεν, δρῶντες ἂν ἡδώμεθα,
οὐκ ἀντιτίσειν αὖθις ἂν λυπώμεθα.
ἕρπει παραλλὰξ ταῦτα· πρόσθεν οὗτος ἦν
αἴθων ὑβριστής, νῦν δ' ἐγὼ μέγ' αὖ φρονῶ.
καί σοι προφωνῶ τόνδε μὴ θάπτειν, ὅπως

1076. πρόβλημα φόβου καὶ αἰδοῦς, ein durch φόβος und αἰδώς gewährter Schutz gegen ὕβρις, vgl. 159 πύργου ῥῦμα.

1077. σῶμα μέγα, wie Aias ἔξοχος Ἀργείων κεφαλὴν ἠδ' εὐρέας ὤμους, vgl. 758. — γεννήσῃ, φύσῃ, wie φῦσαι φρένας O. C. 804. El. 1463.

1079. Vgl. Ant. 675 τῶν δ' ὀρθουμένων σῴζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία. Nach echt Spartanischen Grundsätzen fliesst aus Furcht (φόβος, δέος) Scheu und Ehrerbietung (αἰδώς, αἰσχύνη), d. h. ohne Furcht kein Gehorsam und keine Zucht. Eine sprichwörtlich gewordene Sentenz aus den Kyprien bei Plat. Euthyphr. p. 12 B ἵνα γὰρ δέος, ἔνθα καὶ αἰδώς: schon Il. 15, 657 αἰδὼς καὶ δέος, wie Aeschin. 1, 180 παρελθών τις τῶν γερόντων, οὓς ἐκεῖνοι (οἱ Λακεδαιμόνιοι) καὶ αἰσχύνονται καὶ δεδίασι. Sonst bei Homer ταρβεῖν καὶ αἰδεῖσθαι. Aesch. Eum. 693 σέβας ἀστῶν φόβος τε συγγενής.

1081. βούλεται, ὁ δρῶν, πᾶς τις, Krüger Gr. § 61, 4 Anm. 5. 6. — παρῇ, vgl. 1160. Eur. El. 972 οπου δ' Ἀπόλλων σκαιὸς ἦ, τίνες σοφοί;

1082. ὅπου — ταύτην, vgl. Phil. 458.

1083. πεσεῖν würde in der oratio recta sein ἔπεσεν, der gnomische Aorist. — Der Staat wird mit einem Schiffe verglichen, wie O. R. 22 ff. Ant. 163. 994; ἐξ οὐρίων (πνευμάτων) wie ἐξ οὐρίας (πνοῆς) = οὐρίοις πνεύμασιν.

1084. ἑστάτω, 200.

1085 f. Eine sprichwörtlich gewordene Sentenz des Hesiodos Op. 721 εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις. Alkäos fr. 82 p. 724 αἴ κ' εἴπῃς τὰ θέλεις, ἦ κεν ἀκούσαις τά κεν οὐ θέλοις. Sophokles fr. 844 φιλεῖ δὲ πολλὴν γλῶσσαν ἐχέας μάτην ἄκων ἀκούειν οὓς ἑκὼν εἶπεν λόγους. Terent. Andr. 5, 4, 17 *si mihi pergit quae volt dicere, ea quae non volt audiet.* Liban. Decl. vol. 2 p. 84 δρῶντες ἅττα ἐθέλουσι πάσχειν δύναιντ' ἂν ἅττα ἂν οὐκ ἐθέλοιεν. Vgl. 1323. Ant. 751 βούλει λέγειν τι καὶ λέγων μηδὲν κλύειν;

μὴ τόνδε θάπτων αὐτὸς εἰς ταφὰς πέσῃς.

ΧΟΡΟΣ.

Μενέλαε, μὴ γνώμας ὑποστήσας σοφὰς
εἶτ' αὐτὸς ἐν θανοῦσιν ὑβριστὴς γένῃ.

ΤΕΥΚΡΟΣ.

οὐκ ἄν ποτ', ἄνδρες, ἄνδρα θαυμάσαιμ' ἔτι,
ὃς μηδὲν ὢν γοναῖσιν εἶθ' ἁμαρτάνει,
ὅθ' οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι
τοιαῦθ' ἁμαρτάνουσιν ἐν λόγοις ἔπη.
ἄγ', εἶπ' ἀπ' ἀρχῆς αὖθις, ἦ σὺ φῂς ἄγειν
τὸν ἄνδρ' Ἀχαιοῖς δεῦρο σύμμαχον λαβών;
οὐκ αὐτὸς ἐξέπλευσεν ὡς αὑτοῦ κρατῶν;
ποῦ σὺ στρατηγεῖς τοῦδε; ποῦ δὲ σοὶ λεῶν
ἔξεστ' ἀνάσσειν ὧν ὅδ' ἦγαγ' οἴκοθεν;
Σπάρτης ἀνάσσων ἦλθες, οὐχ ἡμῶν κρατῶν·
οὐδ' ἔσθ' ὅπου σοι τόνδε κοσμῆσαι πλέον
ἀρχῆς ἔκειτο θεσμὸς ἢ καὶ τῷδε σέ.
[ὕπαρχος ἄλλων δεῦρ' ἔπλευσας, οὐχ ὅλων

1090. εἰς ταφὰς πέσῃς, *ne moriare*, vgl. 1109, ist gesetzt, um die Drohung durch die Alliteration θάπτειν, θάπτων, ταφάς desto sarkastischer zu machen. Darum ist τόνδε θάπτων nochmals wiederholt.

1092. ἐν θανοῦσιν, vgl. 1151 ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας. 1315 ἐν ἐμοὶ θρασύς. Eur. El. 68 ἐν τοῖς ἐμοῖς γὰρ οὐκ ἐνύβρισας κακοῖς. Med. 206 τὸν ἐν λέχει προδόταν. Die Wendung αὐτὸς ὑβριστὴς γένῃ wegen 1088.

1094. ὃς μηδὲν ὢν γ., δυσγενής, vgl. Trach. 61 ἀγέννητοι.

1095. ὅτε vertritt hier die Stelle von εἰ, wie 1231.

1096. Mit ἁμ. ἔπη vgl. 1107 τὰ σέμν' ἔπη κόλας ἐκείνους. Ant. 743 οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ.

1097 f. Vgl. 1052 ff.

1098. λαβών gegenüber dem αὐτὸς ἐξέπλευσεν ὡς (αὐτὸς) αὐτοῦ κρατῶν.

1100. ποῦ, worauf beruht es dass du ihm befehlen willst? Ueber das scheinbar für πῶς, τίνος ἕνεκα gebrauchte ποῦ vgl. O. R. 390 ποῦ σὺ μάντις εἶ σαφής; Phil. 451 ποῦ χρὴ τίθεσθαι ταῦτα, ποῦ δ' αἰνεῖν, ὅταν τὰ θεῖ' ἐπαινῶν τοὺς θεοὺς εὕρω κακούς;

1102. Vgl. Eur. fr. 722 Σπάρτην ἔλαχες, κείνην κόσμει.

1104. ἀρχῆς θεσμός, das Festgesetzte, die Satzung, daher das Recht des Gebietens.

1105 f. ὅλων von ὅλα, *summa rerum*, wie sonst gesagt wird τὴν τῶν ὅλων δεσποτείαν ἔχειν u. ä. Uebrigens scheinen diese beiden Verse dem Sophokles fremd zu sein, da sie nur den eben ausgesprochenen Gedanken wiederholen mit der hier unpassenden Andeutung, dass nur Agamemnon als Oberfeldherr das Recht gehabt habe

στρατηγός, ὥστ' Αἴαντος ἡγεῖσθαί ποτε.]
ἀλλ' ὥνπερ ἄρχεις ἄρχε καὶ τὰ σέμν' ἔπη
κόλαζ' ἐκείνους· τόνδε δ', εἴτε μὴ σὺ φῂς
εἴθ' ἕτερος στρατηγός, εἰς ταφὰς ἐγὼ
θήσω δικαίως, οὐ τὸ σὸν δείσας στόμα.
οὐ γάρ τι τῆς σῆς εἵνεκ' ἐστρατεύσατο
γυναικός, ὥσπερ οἱ πόνου πολλοῦ πλέῳ,
ἀλλ' εἵνεχ' ὅρκων οἷσιν ἦν ἐνώμοτος,
σοῦ δ' οὐδέν· οὐ γὰρ ἠξίου τοὺς μηδένας.
πρὸς ταῦτα πλείους δεῦρο κήρυκας λαβὼν
καὶ τὸν στρατηγὸν ἧκε· τοῦ δὲ σοῦ ψόφου
οὐκ ἂν στραφείην, ἔστ' ἂν ᾖς οἷός περ εἶ.

ΧΟΡΟΣ.

οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ·

dem Aias Befehle zu ertheilen.

1107. Il. 1, 295 ἄλλοισιν δὴ ταῦτ' ἐπιτέλλεο· μὴ γάρ ἐμοί γε. Aesch. Eum. 574 ὧν ἔχεις αὐτὸς κράτει. Vgl. 591 τοῖς ἀκούουσιν λέγε. O. C. 839 μὴ ἐπίτασσ' ἃ μὴ κρατεῖς. Statt des schlichten τὰ σέμν' ἔπη (der Artikel wie oben 312 τὰ δεινά) κολάζων ἐκείνους λέγε wählt Sophokles eine prägnantere Wendung, vgl. O. R. 340 ἔπη κλύων, ἃ νῦν σὶ τήνδ' ἀτιμάζεις πόλιν, vgl. oben 1096.

1108. μὴ φῂς, vetas.

1109. ἕτερος, Agamemnon.

1110. τὸ σὸν στόμα, wie O. R. 671 τὸ σὸν ἐποικτείρω στόμα.

1112. οἱ πόνου πολλοῦ πλέῳ, οἱ φιλοκίνδυνοι, πολυπραγμονοῦντες, geschäftige Abenteurer, die aus Lust an kühnen Unternehmungen mit nach Troja gezogen sind. Die Allitteration bezeichnet Teukros' Geringschätzung dieser Ritter, vgl. zu Phil. 297. Andre lassen T. auf den stets dienstwilligen Odysseus zielen, die Scholien verstehen τοὺς μισθοφόρους, welche in allen Stücken gehorsam sein müssen.

1113. Helenas Vater Tyndareos hatte der nachhomerischen Sage zufolge die Freier, unter denen auch Aias gewesen war, eidlich verpflichtet, demjenigen welchem Helene zu Theil würde, beizustehen, falls ihm jemand den Besitz der Gattin streitig machte. Vgl. Eur. Iph. Aul. 49 ff.

1114. σοῦ δ' οὐδέν, vgl. zu 627. 968. — τοὺς μηδένας, zu O. C. 918 κἄμ' ἴσον τῷ μηδενί.

1115. Menelaos war, nach der Sitte der Könige in der Tragödie, nicht ohne Herold und Gefolge (κωφὰ δορυφορήματα) erschienen, vgl. Phil. 45.

1117. στραφείην, ἐπιστραφείην, φροντίσαιμι, daher der Genetiv τοῦ σοῦ ψόφου, Krüger Gr. II. § 47, 11 Anm. 3. Mit den folgenden Worten vgl. Plat. Phaedr. p. 243 E τοῦτο μὲν πιστεύω, ἕως περ ἂν ἧς ὃς εἶ.

1118 f. Entsprechend 1091 f. — ἐν κακοῖς, in schlimmen Lagen, wie jetzt Teukros der Uebermacht der Feinde gegenüber schlimm daran ist. Aesch. Agam. 1612 Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω. Mit der Sentenz τὰ σκληρὰ — δάκνει vgl. O. R. 682

τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.

ΜΕΝΕΛΑΟΣ.

ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν.

ΤΕΥΚΡΟΣ.

οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην.

ΜΕΝΕΛΑΟΣ.

μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις.

ΤΕΥΚΡΟΣ.

κἂν ψιλὸς ἀρκέσαιμι σοί γ' ὡπλισμένῳ.

ΜΕΝΕΛΑΟΣ.

ἡ γλῶσσά σου τὸν θυμὸν ὡς δεινὸν τρέφει.

ΤΕΥΚΡΟΣ.

ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν.

ΜΕΝΕΛΑΟΣ.

δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με;

ΤΕΥΚΡΟΣ.

κτείναντα; δεινόν γ' εἶπας, εἰ καὶ ζῇς θανών.

ΜΕΝΕΛΑΟΣ.

θεὸς γὰρ ἐκσῴζει με, τῷδε δ' οἴχομαι.

δάκνει δὲ καὶ τὸ μὴ ἔνδικον.

1120. Während in der Heldensage und bei Homer Götter, wie Apollon und Artemis, und Helden, wie Herakles, Meriones, Philoktetes, Teukros als τοξόται in Ehren erscheinen, versetzen die Tragiker die Missachtung dieser später nur noch auf Kreta (Pausan. 1, 23, 4) üblichen Waffengattung schon in die heroische Zeit. Lykos sagt vom Herakles Eur. Herc. Fur. 159 ὃς οὔποτ' ἀσπίδ' ἔσχε πρὸς λαιᾷ χερὶ οὐδ' ἦλθε λόγχης ἐγγύς, ἀλλὰ τόξ' ἔχων, κάκιστον ὅπλον, εἰς φυγὴν πρόχειρος ἦν. Menelaos als Spartiat denkt an das Verhältniss der leichtbewaffneten Periöken zu ihren Herren; in Athen klang aber τοξότης um so verächtlicher, da die Polizeisoldaten, meist Skythische Barbaren, denselben Namen führten.

1123. Zu σοί ist das γε hier mit einer gewissen Spitze hinzugefügt, mit Deinesgleichen würde ich fertig werden.

1124. Deine Zunge nährt (lässt wachsen) deinen Muth wie gewaltig! Was für ein Maulheld bist du!

1125. Vgl. Phil. 1251 ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον.

1126. δίκαια, vgl. 887. — κτείναντα, so viel an ihm lag, s. 97 ff. und vgl. 1128 τῷδε δ' οἴχομαι.

1127. Menelaos' unvorsichtiger Ausdruck gibt dem Teukros, wie öfter in diesem Wortwechsel, Gelegenheit zur Verhöhnung. Mit δεινόν γ' εἶπας vgl. Phil. 1225 δεινόν γε φωνεῖς. — καί gehört zu θανών.

1128. τῷδε, vgl. 970. In einem Epigr. Anth. Plan. 278 sagt Arion:

ΤΕΥΚΡΟΣ.

μὴ νῦν ἄτιζε θεούς, θεοῖς σεσωσμένος.

ΜΕΝΕΛΑΟΣ.

ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους;

ΤΕΥΚΡΟΣ.

εἰ τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν παρών.

ΜΕΝΕΛΑΟΣ.

τούς γ' αὐτὸς αὑτοῦ πολεμίους· οὐ γὰρ καλόν.

ΤΕΥΚΡΟΣ.

ἦ σοὶ γὰρ Αἴας πολέμιος προύστη ποτέ;

κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σῳζόμεθα.

1130. ἐγὼ ἂν ψέξαιμι, ich sollte tadeln, fragt Men. verwundert, da er nicht begreift, inwiefern er die göttlichen Satzungen (vgl. 1343 f.) missachte: darauf sagt ihm Teukros 1131, dass jener, indem er die Bestattung des Aias verbiete, den göttlichen Gesetzen zuwider handle. Mit der Frage ψέξαιμι ἄν vgl. Arist. Av. 815 Σπάρτην γὰρ ἂν (ὄνομα) θείμην ἐγὼ τῇμῇ πόλει; Vesp. 1159 ἐγὰ γὰρ ἂν τλαίην;

1131. εἰ οὐκ ἐᾷς θάπτειν, nämlich. ψέγεις δαιμ. νόμους. — οὐ steht trotz des voraufgehenden εἰ, weil οὐκ ἐᾷς = ἀπαγορεύεις. Vgl. Soph. fr. 145 εἴ τις οὐ πάρεστιν (= εἴ τις ἄπεστιν). Eur. Ion. 347 εἰ δ' οὐκέτ' ἔστι, τίνι τρόπῳ διεφθάρη; 388 ὡς εἰ μὲν οὐκέτ' ἔστιν, ὀγκωθῇ τάφῳ, εἰ δ' ἔστιν, ἔλθῃ μητρὸς εἰς χέρας ποτέ. fr. 84 εἰ τοῦ τεκόντος οὐδὲν ἐντρέπει πατρός. Men. Com. 4 p. 107 εἰ δ' οὐ σεαυτοῦ, τῆς τύχης δὲ πάντ' ἔχεις. Lysias 13, 62 εἰ μὲν οὖν οὐ πολλοὶ ἦσαν, καθ' ἕκαστον ἂν περὶ αὐτῶν ἠκούετε. Krüger Gr. § 67, 4 Anm. 1. Aehnlich O. C. 590 οὐ θελόντων in hypothetischem Sinne. Ueber παρών sagt Hermann: *'est in huiusmodi additamentis saepe indignationis quaedam significatio, similiter ut cum nos dicimus:* wenn du kommst und die Todten nicht willst begraben lassen'. Vgl. zu 1156. O. R. 641 ἢ γῆς ἀπῶσαι πατρίδος ἢ κτεῖναι λαβών.

1132. τοὺς πολ., näml. οὐκ ἐῶ θάπτειν· οὐ γὰρ καλόν, τοῦτο ἐᾶν. Mit τοὺς αὐτὸς αὑτοῦ vgl. Aesch. Prom. 762 πρὸς αὐτὸς αὐτοῦ κενοφρόνων βουλευμάτων. 921 παλαιστὴν νῦν παρασκευάζεται ἐπ' αὐτὸς αὐτῷ. Agam. 836 τοῖς τ' αὐτὸς αὐτοῦ πήμασιν βαρύνεται. Soph. O. C. 930 αἰσχύνεις πόλιν τὴν αὐτὸς αὐτοῦ. 1356 τὸν αὐτὸς αὐτοῦ πατέρα τόνδ' ἀπήλασας. Timokles Com. 3 p. 593 τὰς αὐτὸς αὐτοῦ συμφορὰς ῥᾷον φέρει. Philem. Com. 4 p. 50 ἰατρὸς οὐδὲ εἷς τοὺς αὐτὸς αὐτοῦ βούλεθ' ὑγιαίνειν φίλους. Babr. 56, 9 τά γ' αὐτὸς αὑτοῦ πᾶς τις εὐπρεπῆ κρίνει. Eben so in der Prosa (Aeschines 3, 233. Plat. Alcib. II p. 144 C. Plat. Mor. p. 1146 D. Nikostr. Stob. Flor. 70, 12. Parthen. c. 3, vgl. Bast Epist. crit. p. 212), wie namentlich in den neuerdings gefundenen Inschriften aus Delphi. — αὐτοῦ statt ἑμαυτοῦ, zu O. C. 966.

1133. Teukros verspottet den Menelaos, der in der Hitze πολέμιος (*hostis*) gesagt hatte, wo ἐχθρός (*inimicus*) am Platze gewesen wäre. — προύστη, ἀντέστη.

ΜΕΝΕΛΑΟΣ.

μισοῦντ' ἐμίσει· καὶ σὺ τοῦτ' ἠπίστασο.

ΤΕΥΚΡΟΣ.

κλέπτης γὰρ αὐτοῦ ψηφοποιὸς ηὑρέθης.

ΜΕΝΕΛΑΟΣ.

ἐν τοῖς δικασταῖς κοὐκ ἐμοὶ τόδ' ἐσφάλη.

ΤΕΥΚΡΟΣ.

πόλλ' ἂν καλῶς λάθρᾳ σὺ κλέψειας κακά.

ΜΕΝΕΛΑΟΣ.

τοῦτ' εἰς ἀνίαν τοὔπος ἔρχεταί τινι.

ΤΕΥΚΡΟΣ.

οὐ μᾶλλον, ὡς ἔοικεν, ἢ λυπήσομεν.

ΜΕΝΕΛΑΟΣ.

ἔν σοι φράσω· τόνδ' ἐστὶν οὐχὶ θαπτέον.

ΤΕΥΚΡΟΣ.

ἀλλ' ἀντακούσει τοῦτον ὡς τεθάψεται.

1134. 'Deine Frage war überflüssig, da du ja unsern gegenseitigen Hass kanntest'. Nach Griechischem Sprachgebrauche fällt in μισοῦντ' ἐμίσει auf μισοῦντα das Hauptgewicht (vgl. zu O. C. 1083 f. Trach. 592. El. 551. Phil. 403 f.): darum dürfte die andere Lesart μισοῦντ' ἐμίσουν den Vorzug verdienen.

1135. Natürlich hasste er dich: denn κλέπτης ψηφοποιὸς ηὑρέθης, du wurdest erfunden als sein Betrüger beim Zählen der Stimmsteine, welche die Kampfrichter zu seinen Gunsten abgegeben hatten, vgl. 449. Sophokles scheint auf die ψηφοπαῖκται, ψηφολόγοι anzuspielen, Gaukler, welche Steinchen rasch hinwegzaubern und an einen andern Ort schaffen. Vgl. Pind. Nem. 8, 26 κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν. Lysias bei Poll. 7, 200 ψηφοπαικτοῦσι τὸ δίκαιον.

1136 f. Men. lehnt den Vorwurf ab und sagt, an den Richtern liege die Schuld, dass Aias die Waffen nicht erhalten habe, nicht an ihm. Ueber ἐσφάλη vgl. Einl. S. 40 Anm. Teukros entgegnet, Menelaos möge wohl überhaupt auf geschickte Weise insgeheim durch schlechte Mittel sich oft Vortheile schaffen. Ueber κλέπτειν vgl. 189. El. 37 δόλοισι κλέψαι σφαγάς.

1138. τινί, wie Ant. 751 θανοῦσ' ὀλεῖ τινα. Aristoph. Ran. 552 κακὸν ἥκει τινί. 554 δώσει τις δίκην. Hier liegt in dem Ausspruche eine Drohung.

1139. οὐ μᾶλλον, εἰς ἀνίαν ἔρχεται ἐμοί, λυπηθησόμεθα.

1141. Teukros wählt eine den Worten des Gegners schroff entgegentretende, scharf treffende Antwort; daher die bei ἀκούω seltnere Attraction ἀντακούσει τοῦτον ὡς τεθ., vgl. Phil. 549. Xen. Mem. 4, 2, 33 τὸν Δαίδαλον οὐκ ἀκήκοας ὅτι ἠναγκάζετο δουλεύειν; Demosth. 43, 23 αἰσθήσεσθε τούτους ὅτι εἰσὶ βίαιοι.

ΜΕΝΕΛΑΟΣ.

ἤδη ποτ᾽ εἶδον ἄνδρ᾽ ἐγὼ γλώσσῃ θρασὺν
ναύτας ἐφορμήσαντα χειμῶνος τὸ πλεῖν,
ᾧ φθέγμ᾽ ἂν οὐκ ἂν ἤῦρες, ἡνίκ᾽ ἐν κακῷ
χειμῶνος εἶχετ᾽, ἀλλ᾽ ὑφ᾽ εἵματος κρυφεὶς
πατεῖν παρεῖχε τῷ θέλοντι ναυτίλων.
οὕτω δὲ καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα
σμικροῦ νέφους τάχ᾽ ἄν τις ἐκπνεύσας μέγας
χειμὼν κατασβέσειε τὴν πολλὴν βοήν.

ΤΕΥΚΡΟΣ.

ἐγὼ δέ γ᾽ ἄνδρ᾽ ὄπωπα μωρίας πλέων,
ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.
κἄτ᾽ αὐτὸν εἰσιδών τις ἐμφερὴς ἐμοὶ
ὀργήν θ᾽ ὅμοιος εἶπε τοιοῦτον λόγον·
ὤνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος.

1142 ff. Durch Teukros' schlagende Antworten bedrängt kleidet Menelaos seine Gedanken in einen *αἶνος*:

1143. *ἐφορμήσαντα* mit doppeltem Accus. wie *παρορμᾶν τινά τι*, *παρακαλεῖσθαι*, *ἐνάγειν* u. ä. bei Krüger Gr. § 46, 15. — *χειμῶνος*, wie *νυκτὸς τῆσδε* 21.

1144. *ᾧ*, da der Sinn ist: *ᾧ οὐκ ἐνῆν*. O. C. 966 *οὐκ ἂν ἐξεύροις ἐμοὶ ἁμαρτίας ὄνειδος οὐδέν*. — *οὐκ ἂν ἤῦρες* hier zur Bezeichnung von Ereignissen, die in der Vergangenheit hie und da vorkamen, wie Phil. 295 *εἶτα πῦρ ἂν οὐ παρῆν*. Vgl. Krüger Gr. § 53, 10 Anm. 3.

1146. *πατεῖν παρεῖχεν*, ohne *ἑαυτόν*, wie das Att. *παρέχειν δέρειν* sich schinden lassen (vgl. Phil. 619 *κάρα τέμνειν ἐφεῖτο τῷ θέλοντι*), scheint sprichwörtlich gewesen zu sein, vgl. Plat. Theaet. p. 191 A *παρέξομεν ὡς ναυτιῶντες πατεῖν τε καὶ χρῆσθαι ὅ τι ἂν βούληται*. Men. deutet auf die Seekrankheit, wobei man noch heute in Griechenland sich in Pelze hüllt und *πατεῖν παρέχει*. Dion Chrys. 3, 63 *ὅταν δὲ καταλάβῃ χειμών, ἐγκαλυψάμενοι* (*οἱ ἐπιβάται*) *περιμένουσι τὸ συμβησόμενον*.

1147. Im Zorn sagt Menelaos: *καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα*, wie die Lateiner *te cum tuo impudenti ore*. Vgl. Phil. 1378 *σὲ τήνδε τ᾽ ἔμπυον βάσιν*. O. R. 905 *σὲ τάν τε σὰν ἀθάνατον αἰὲν ἀρχάν*. O. C. 750 *ἀεί σε κηδεύουσα καὶ τὸ σὸν κάρα*. Ant. 95 *ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν*. El. 522 *καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά*.

1149. *τὴν πολλὴν βοήν* nimmt nach längerem Zwischensatze *καὶ σὲ καὶ τὸ σὸν λάβρον στόμα* nochmals auf, wie 1062 f.

1151. *ἐν κακοῖς ὕβριζε*, zu 1092.

1153. *ὀργήν*, *τὸν τρόπον*, vgl. 640.

1155. *πημανούμενος*, *malum contrahes*, vgl. zu Phil. 48. Krüger Gr. § 39, 11 Anm.

τοιαῦτ᾽ ἄνολβον ἄνδρ᾽ ἐνουθέτει παρών.
ὁρῶ δέ τοί νιν, κἄστιν, ὡς ἐμοὶ δοκεῖ,
οὐδείς ποτ᾽ ἄλλος ἢ σύ. μῶν ᾐνιξάμην;

ΜΕΝΕΛΑΟΣ.

ἄπειμι· καὶ γὰρ αἰσχρόν, εἰ πύθοιτό τις,
λόγοις κολάζειν ᾧ βιάζεσθαι παρῇ.

ΤΕΥΚΡΟΣ.

ἄφερπέ νυν· κἀμοὶ γὰρ αἴσχιστον κλύειν
ἀνδρὸς ματαίου φλαῦρ᾽ ἔπη μυθουμένου.

ΧΟΡΟΣ.

ἔσται μεγάλης ἔριδός τις ἀγών.
ἀλλ᾽ ὡς δύνασαι, Τεῦκρε, ταχύνας
σπεῦσον κοίλην κάπετόν τιν᾽ ἰδεῖν
τῷδ᾽, ἔνθα βροτοῖς τὸν ἀείμνηστον
τάφον εὑρώεντα καθέξει.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν ἐς αὐτὸν καιρὸν οἵδε πλησίοι
πάρεισιν ἀνδρὸς τοῦδε παῖς τε καὶ γυνὴ

1156. Der doppelte Acc., wie Trach. 1206 *οἷά μ᾽ ἐκκαλεῖ*. — *ἄνολβον*, *ἀνόητον*, *μωρίας πλέων*. Denn da *πολλῷ τὸ φρονεῖν εὐδαιμονίας πρῶτον ὑπάρχει* (Ant. 1347 f.), so ist der der *φρόνησις* ermangelnde ein *infortunatus*. Vgl. Ant. 1026 *ἀνὴρ ἄβουλος καὶ ἄνολβος*, zu O. R. 888. O. C. 800 f. Aehnlich *δύσμορος* oben 373. Trach. 466. — *παρών* (vgl. 1131) macht hier die Schilderung anschaulicher und lebendiger, vgl. Phil. 373 *ἐγὼ γὰρ αὖτ᾽ ἔσωσα κἀκεῖνον παρών*. 1405 *ἐγὼ παρὼν εἶρξω*.

1158. *μῶν ᾐνιξάμην*, höhnisch wie Ant. 405 *ἆρ᾽ ἔνδηλα καὶ σαφῆ λέγω;* Aesch. Ag. 269 *ἢ τορῶς λέγω;*

1160. *ᾧ παρῇ*, *ᾧ ἂν ἐξῇ*, vgl. 1081.

1163. *ἔριδος ἀγάν*, wie *λόγων ἀγών*, vgl. zu Trach. 20.

1164 f. *ταχύνας σπεῦσον*, edler als das gewöhnliche *σπεῦδε ταχέως*, *ᾗ* oder *ὡς τάχιστα*.

1165. *ἰδεῖν*, *εὑρεῖν*, ausfindig machen. Theokr. 15, 2 *ὄρη δίφρον, Εὐνόα, αὐτᾷ*.

1166. *βροτοῖς τὸν ἀείμνηστον*, *τὸν βροτοῖς ἀείμνηστον*, wie der Artikel mitunter selbst in Prosa gestellt wird, vgl. Ant. 384 *τοὔργον ἡ ἐξειργασμένη*. Aehnlich Ant. 324 f. 710. Trach. 872. El. 1486. O. R. 263. — Das Grab des Aias wurde auf dem Vorgebirge Rhoiteion gezeigt.

1167. *εὐρώεντα*, *σκοτεινόν*, wobei mehr an Aias' Aufenthalt im *Τάρταρος*, *Ἅιδεω δόμος εὐράεις*, als im *τάφος* gedacht ist.

1168 f. Tekmessa, 985 ff. abgeschickt, kommt mit Eurysakes. — *καὶ μήν*, zu El. 78. — *πλησίοι πάρεισιν*, wie El. 640 *παρούσης τῆσδε πλησίας ἐμοί*.

τάφον περιστελοῦντι δυστήνου νεκροῦ.
ὦ παῖ, πρόσελθε δεῦρο, καὶ σταθεὶς πέλας
ἱκέτης ἕφαψαι πατρός, ὅς σ' ἐγείνατο.
θάκει δὲ προστρόπαιος ἐν χεροῖν ἔχων
κόμας ἐμὰς καὶ τῆσδε καὶ σαυτοῦ τρίτου,
ἱκτήριον θησαυρόν. εἰ δέ τις στρατοῦ
βίᾳ σ' ἀποσπάσειε τοῦδε τοῦ νεκροῦ,
κακὸς κακῶς ἄθαπτος ἐκπέσοι χθονός,
γένους ἅπαντος ῥίζαν ἐξημημένος,
αὕτως ὅπωσπερ τόνδ' ἐγὼ τέμνω πλόκον.
ἔχ' αὐτόν, ὦ παῖ, καὶ φύλασσε, μηδέ σε
κινησάτω τις, ἀλλὰ προσπεσὼν ἔχου.
ὑμεῖς τε μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας

1170. περιστελοῦντι, ergänze ἐμοί.

1172. Um in Teukros' Abwesenheit den Leichnam vor jeder feindlichen Gewalt zu sichern, soll der Sohn in der feierlichen Haltung eines ἱκέτης an der Leiche niederknieen und der Leiche, die er anfasst, den Schutz des Ζεὺς ἱκέσιος verschaffen. Während bei wirklicher ἱκετεία Zweige in den Händen gehalten wurden (zu O. R. 3), soll Eurysakes eine Haarlocke der drei nächsten Angehörigen als den einzigen Schatz der ἱκέται (1175) in den Händen halten. Die symbolische Bedeutung der Locken spricht Teukros selbst 1175 ff. aus. Vgl. Il. 23, 135 f. Soph. El. 449 ff. Aesch. Choeph. zu Anfang. — πατρός, ὅς σ' ἐγείνατο, zu El. 261 τὰ μητρός, ἥ μ' ἐγείνατο. Vgl. unten 1296 ὁ φιτύσας πατήρ.

1174. τρίτου wird wegen der Bedeutsamkeit der Dreizahl hinzugesetzt, gleichsam um die heilige Zahl auszufüllen. Vgl. O. C. 8 στέργειν γὰρ αἱ πάθαι με χὠ χρόνος ξυνὼν μακρὸς διδάσκει καὶ τὸ γενναῖον τρίτον. fr. 869 νὴ τὼ Λαπέρσα, νὴ τὸν Εὐρώταν τρίτον. Menandri Sent. 231 θάλασσα καὶ πῦρ καὶ γυνὴ τρίτον κακόν. Aesch. Eum. 758 Παλλάδος καὶ Λοξίου ἕκατι καὶ τοῦ πάντα κραίνοντος τρίτου σωτῆρος. Aehnlich um den 'Dritten im Bunde' zu bezeichnen O. R. 581 οὐκ οὖν ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος;

1177. κακὸς κακῶς, vgl. 839.

1178. Die Verfluchung des ganzen Geschlechts ist stehende Formel, wie ἀπόλλυσθαι καὶ αὐτὸν καὶ τὸ γένος αὐτοῦ, oft in öffentlichen Decreten. — ῥίζαν ἐξ., zu Trach. 157 f.

1179. Vgl. Il. 3, 290 ὁππότεροι πρότεροι ὑπὲρ ὅρκια πημήνειαν, ὧδέ σφ' ἐγκέφαλος χαμάδις ῥέοι ὡς ὅδε οἶνος, αὐτῶν καὶ τεκέων, ἄλοχοι δ' ἄλλοισι δαμεῖεν. Liv. 1, 24 *si prior defexit, tum tu ille Diespiter populum Romanum sic ferito, ut ego hunc porcum hic hodie feriam.* Liv. 21, 45 *si falleret, Iovem ceterosque precatus deos, ita se mactarent, quem ad modum ipse agnum mactasset.*

1181. ἔχου, τοῦ πατρός, vgl. 1172.

1182. ἀντ' ἀνδρῶν zur Schärfung des Begriffes γυναῖκες, wie oben 1020 δοῦλος ἀντ' ἐλευθέρου.

παρέστατ', ἀλλ' ἀρήγετ', ἔστ' ἐγὼ μολὼν
τάφου μεληθῶ τῷδε, κἂν μηδεὶς ἐᾷ.

ΧΟΡΟΣ.

στροφὴ α.

τίς ἄρα νέατος ἐς πότε λή-
ξει πολυπλάγκτων ἐτέων ἀριθμός,
τὰν ἀπαύστων αἰὲν ἐμοὶ δορυσσοήτων
μόχθων ἄταν ἐπάγων
ἀνὰ τὰν εὐρώδη Τροίαν,
δύστανον ὄνειδος Ἑλλάνων;

ἀντιστροφὴ α.

ὄφελε πρότερον αἰθέρα δῦ-

1185—1222. Der Chor klagt über seine unabsehbaren und seit Aias' Tode hoffnungslosen Mühseligkeiten und sehnt sich nach der Heimath zurück.

1185. Die Verzweiflung und Ungeduld des Chors spricht sich in der zu einem Ganzen verbundenen Doppelfrage aus: τίς ἄρα ἀριθμὸς ἐτέων λήξει νέατος (d. h. ὥστε νέατον γενέσθαι) ἐς πότε; Vgl. Phil. 1090 τοῦ ποτε τεύξομαι πόθεν ἐλπίδος; — ἐς πότε, wo man πότε erwarten sollte, wie εἰς bei der Angabe eines Termins oft gebraucht wird. Aeschin. 3, 99 ἃ εὖ οἶδεν οὐδέποτε ἐσόμενα, τολμᾷ λέγειν ἀριθμῶν εἰς ὁπότ' ἔσται. Eur. Alc. 320 καὶ τόδ' οὐκ ἐς αὔριον οὐδ' εἰς τρίτην μοι μηνὸς ἔρχεται κακόν. Die Jahre heissen πολύπλαγκτα, weil sie schon neunmal ihren Kreislauf vollendet haben.

1187 f. Der Artikel τὰν ἀπ. ἄταν (mein Leiden hier) wie El. 166 τὸν ἀνήνυτον οἶτον ἔχουσα κακῶν. — δορυσσοήτων μόχθων (wie λιθόλευστος Ἄρης 253, ἀσπίστορες κλόνοι u. ä.), πολεμικῶν, vgl. Theogn. 987 αἵτε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν. Die Lesart δορυσσοήτων scheint übrigens fehlerhaft zu sein, da weder δορυσσόης noch δορυσσόητος durch Beispiele oder analoge Bildungen sicher gestellt werden kann. Vgl. den krit. Anhang.

1190. Sinn und Lesart des Verses ist zweifelhaft und die Emendation wird besonders dadurch erschwert dass auch der antistrophische Vers, ἰὼ πόνοι πρόγονοι πόνων, der ein verschiedenes Metrum hat, von Seiten des Sinnes den dringendsten Verdacht einer fehlerhaften Ueberlieferung erregt. Man erklärt εὐρώδης durch σκοτεινὴ καὶ ἀερώδης, indem man es dem Homerischen ἠεροειδής gleich setzt; andere betrachten es als eine Weiterbildung von εὐρύς, so dass εὐρώδη Τροίαν = Τροίην εὐρεῖαν wäre.

1191. ὄνειδος (Apposition, wie 1210), dass wir so lange vergebens Troja belagern.

1192 ff. Möchte der Anstifter alles Unheils, Paris, von der Erde vertilgt sein, ehe er Helena entführte! Eine bei den Tragikern häufige Verwünschung. Phil. 1426 Πάριν, ὃς τῶνδ' αἴτιος κακῶν ἔφυ. Eur. Tro. 919 ἀρχὰς ἥδ' ἔθηκε τῶν κακῶν, Πάριν τεκοῦσα. Aehnlich Helena Il. 3, 173 ὡς ὄφελεν θάνατός μοι ἀδεὴς κακός, ὁππότε δεῦρο νέῃ σῷ ἑπόμην. 6, 345 ὡς μ' ὄφελ'

ναι μέγαν ἢ τὸν πολύκοινον Ἅιδαν
κεῖνος ἀνήρ, ὃς στυγερῶν ἔδειξεν ὅπλων
Ἕλλασιν κοινὸν Ἄρη·
ἰὼ πόνοι πρόγονοι πόνων·
κεῖνος γὰρ ἔπερσεν ἀνθρώπους.

στροφὴ β.

κεῖνος οὐ στεφάνων
οὐδὲ βαθειᾶν κυλίκων
νεῖμεν ἐμοὶ τέρψιν ὁμιλεῖν,
οὔτε γλυκὺν αὐλῶν ὄτοβον,
δύσμορος, οὔτ' ἐννυχίαν τέρψιν ἰαύειν.
ἐρώτων δ' ἀπέπαυσεν, ὤ-
μοι· κεῖμαι δ' ἀμέριμνος οὕ-
τως ἀεὶ πυκιναῖς δρόσοις
τεγγόμενος κόμας,
λυγρᾶς μνήματα Τροίας·

ἀντιστροφὴ β.

πρὶν μὲν ἐννυχίου
δείματος ἦν μοι προβολὰ

ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ, οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα εἰς ὄρος ἢ ἐς κῦμα πολυφλοίσβοιο θαλάσσης, ἔνθα με κῦμ' ἀπόερσε πάρος τάδε ἔργα γενέσθαι. — δῦναι genügte für den Luftraum und die Unterwelt, da beiden βάθος zugeschrieben wird.

1196. κοινὸς Ἄρης, der von allen Hellenischen Stämmen gemeinsam unternommene Kriegszug (vgl. Thuk. 1, 3), welchen Paris veranlasst hat.

1197. πόνοι πρόγονοι πόνων, πήματα ἐπὶ πήμασιν, vgl. 866 πόνος πόνῳ πόνον φέρει. Wie Aeschylos Pers. 987 κακὰ πρόκακα verbindet, so hat Dindorf hier πόνοι πρόπονοι vermuthet, und allerdings ist πρόγονοι sehr auffallend.

1199 ff. Hiermit beginnt eine zweite Reihe von Entbehrungen. — ὁμιλεῖν, τῇ τέρψει, nach δῶκεν ἔχειν weitergebildet, wie Pind. Nem. 10, 72 χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων. Der Chor vermisst die Freuden der Symposien, wo man aus κυλίχναι μεγάλαι, βαθεῖς κρατῆρες oder μείζονες (Il. 9, 202) zu trinken pflegte, und der Komen.

1206. ἀμέριμνος, ich liege hier vor Troja nach wie vor (οὕτως, sic, ohne dass sich mein Zustand bessert, vgl. Il. 18, 338), von niemand beachtet.

1210. Mit der Apposition μνήματα Τροίας vgl. 1191. Aehnliche Ironie Simonides fr. 101 p. 902 in dem Epigramm auf die bei Salamis gefallnen Korinthier: Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίης.

καὶ βελέων θούριος Αἴας·
νῦν δ' οὗτος ἀνεῖται στυγερῷ
δαίμονι. τίς μοι, τίς ἔτ' οὖν τέρψις ἑπέσται;
γενοίμαν ἵν' ἔπεστι πόν-
του πρόβλημ' ἁλίκλυστον, ἄ-
κραν ὑπὸ πλάκα Σουνίου,
τὰς ἱερὰς ὅπως
προσείποιμεν Ἀθάνας.

ΤΕΥΚΡΟΣ.

καὶ μὴν ἰδὼν ἔσπευσα τὸν στρατηλάτην
Ἀγαμέμνον' ἡμῖν δεῦρο τόνδ' ὁρμώμενον·
δῆλος δέ μου στὶ σκαιὸν ἐκλύσων στόμα.

ΑΓΑΜΕΜΝΩΝ.

σὲ δὴ τὰ δεινὰ ῥήματ' ἀγγέλλουσί μοι
τλῆναι καθ' ἡμῶν ὧδ' ἀνοιμωκτὶ χανεῖν;
σέ τοι, τὸν ἐκ τῆς αἰχμαλωτίδος λέγω,
ἣ που τραφεὶς ἂν μητρὸς εὐγενοῦς ἄπο

1214. ἀνεῖται, ist traurigem Verhängniss preisgegeben, dem Untergange geopfert.

1215 f. τίς — τίς, wie Phil. 1348 τί με, τί δῆτ' ἔχεις ἄνω; Ant. 1296 τίς ἆρα τίς με πότμος ἔτι περιμένει; Vgl. zu O. C. 1468. — ἑπέσται, aderit.

1217. ἔπεστι, imminet ponto, prominet.

1220. Wer das aus weissem Kalkfelsen bestehende Vorgebirge Σούνιον ἱρόν, ἄκρον Ἀθηνέων (Odyss. 3, 278) von Osten kommend erreicht hatte, wurde zuerst der Athenischen Akropolis ansichtig und begrüsste Athen: wer von dort kommend dasselbe umfuhr, betete zur Ἀθηνᾶ Σουνιάς und dem Poseidon, der bei Aristophanes Eq. 560 deshalb Σουνιάρατος heisst. Mit πλάκα vgl. Phil. 1430 πρὸς πάτρας Οἴτης πλάκα.

1221 f. ὅπως προσείποιμεν, der Optat. wie Phil. 325. Trach. 955 ff.

1223. καὶ μὴν ἔσπευσα weist auf 1164 f. zurück.

1225. σκαιός, male ominatus. — ἐκλῦσαι, weil während des Schweigens die Worte gleichsam unter Verschluss gehalten werden, wie Sophokles fr. 359 sagt ψυχῆς ἀνοῖξαι τὴν κεκλημένην πύλην. Daher στόμα ἐκλῦσαι, im Gegensatz zu κλῆσαι, seinen Mund freilassen, fauces in verba resolvere, linguam ad iurgia solvere u. ä. Eur. Hipp. 1060 τί δῆτα τοὐμὸν οὐ λύω στόμα; Isokr. 12, 96 ἐπελήλυθέ μοι τὸ παρρησιάζεσθαι καὶ λέλυκα τὸ στόμα.

1226. Ant. 441 σὲ δή, σὲ τὴν νεύουσαν εἰς πέδον κάρα. — τὰ δεινὰ ῥήματα, vgl. zu 312.

1227. χανεῖν, ungewöhnlich für εἰπεῖν. Vgl. Aesch. Agam. 920 μηδὲ βαρβάρου φωτὸς δίκην χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί. Ar. Vesp. 341 τοῦτ' ἐτόλμησ' ὁ μιαρὸς χανεῖν.

ὑψηλ᾽ ἐκόμπεις κἀπ᾽ ἄκρων ὠδοιπόρεις,
ὅτ᾽ οὐδὲν ὢν τοῦ μηδὲν ἀντέστης ὕπερ,
κοὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν
ἡμᾶς Ἀχαιῶν οὔτε σοῦ διωμόσω·
ἀλλ᾽ αὐτὸς ἄρχων, ὡς σὺ φῄς, Αἴας ἔπλει.
ταῦτ᾽ οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά;
ποίου κέκραγας ἀνδρὸς ὧδ᾽ ὑπέρφρονα;
ποῦ βάντος ἢ ποῦ στάντος οὔπερ οὐκ ἐγώ;
οὐκ ἆρ᾽ Ἀχαιοῖς ἄνδρες εἰσὶ πλὴν ὅδε;
πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων
ἀγῶνας Ἀργείοισι κηρῦξαι τότε,

1230. ἐπ᾽ ἄκρων (näml. ὀνύχων, δακτύλων) βαδίζειν, πορεύεσθαι, ἀκροβατεῖν von Einherstolzirenden.

1231. ὅτε, wenn, wie oben 1095. — οὐδὲν ὤν, διὰ τὴν δυσγένειαν, zu 1094; τοῦ μηδὲν ὕπερ, für Aias, der jetzt todt und also dem Nichts gleich zu achten ist, vgl. 1257 ἀνδρὸς οὐκέτ᾽ ὄντος, ἀλλ᾽ ἤδη σκιᾶς. Der Artikel wie 1275 ἤδη τὸ μηδὲν ὄντας. El. 1166 δέξαι με τὴν μηδὲν εἰς τὸ μηδέν. Trach. 1107 κἂν τὸ μηδὲν ὦ. Eur. Phoen. 598 κἄτα σὺν πολλοῖσιν ἦλθες πρὸς τὸν οὐδὲν ἐς μάχην;

1232 f. Agamemnon übertreibt die Behauptungen des Teukros 1097 ff. Derselbe Gegensatz bei Plut. Aristid. 23 οἱ ναύαρχοι καὶ στρατηγοὶ τῶν Ἑλλήνων.

1233. οὔτε σοῦ, d. h. οὔτε Ἀχαιῶν οὔτε σοῦ. Vgl. zu O. R. 239. Ueber die Verbindung des generellen Ἀχαιῶν mit dem speciellen σοῖ zu 573.

1235. δοῦλος konnte Teukros nur in leidenschaftlicher Aufwallung genannt werden, vgl. 1260. 1289. Ant. 479. Ueber den Pluralis δούλων zu Ant. 10. O. R. 107.

1236. ποίου ἀνδρός, von was für einem Manne? Der Genetiv wie El. 317 τοῦ κασιγνήτου τί φῄς, ἥξοντος ἢ μέλλοντος; Trach. 928 τῷ παιδὶ φράζω τῆς τεχνωμένης τάδε. 1122 τῆς μητρὸς ἥκω τῆς ἐμῆς φράσων. Phil. 439 ἀναξίου μὲν φωτὸς (d. h. περὶ ἀναξίου ἀνδρός) ἐξερήσομαι, γλώσσῃ δὲ δεινοῦ.

1237. Um die Ansprüche des Teukros zurückzuweisen, behauptet Agamemnon, Aias habe überall unter seinem Oberbefehle gestanden, sei nicht gegangen noch gestanden wo nicht er selbst zugegen gewesen. Er verbindet formelhaft ποῦ βάντος ἢ ποῦ στάντος (entsprechend unserem gehen und stehen, vgl. Phil. 833 ποῦ στάσει, ποῖ δὲ βάσει; Eur. Hec. 1056 πᾷ βῶ, πᾷ στῶ; Alc. 863 ποῖ βῶ, πᾷ στῶ: ähnliches zu O. C. 1676), und erhöht die Allitteration noch durch ποῦ (nicht ποῖ) βάντος. Vgl. 1281 οὐδαμοῦ συμβῆναι ποδί.

1238. Ist er der einzige Tapfere unter allen Achäern? verdient er allein Auszeichnungen?

1239. ἔοιγμεν statt ἔοικαμεν auch bei Eur. Heracl. 427. 681. Cycl. 99, wie ἐπέπιθμεν statt ἐπεποίθεμεν bei Hom. und ἄνωγμεν Hymn. Apoll. 528 statt ἀνώγαμεν.

1240. τότε, ὅτε ἐκηρύξαμεν, wie 650. 1377.

εἰ πανταχοῦ φανούμεθ᾽ ἐκ Τεύκρου κακοί,
κοὐκ ἀρκέσει ποθ᾽ ὑμὶν οὐδ᾽ ἡσσημένοις
εἴκειν ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς,
ἀλλ᾽ αἰὲν ἡμᾶς ἢ κακοῖς βαλεῖτέ που
ἢ σὺν δόλῳ κεντήσεθ᾽ οἱ λελειμμένοι.
ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε
κατάστασις γένοιτ᾽ ἂν οὐδενὸς νόμου,
εἰ τοὺς δίκῃ νικῶντας ἐξωθήσομεν
καὶ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν.
ἀλλ᾽ εἰρκτέον τάδ᾽ ἐστίν. οὐ γὰρ οἱ πλατεῖς
οὐδ᾽ εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ᾽ οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ.
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται.
καὶ σοὶ προσέρπον τοῦτ᾽ ἐγὼ τὸ φάρμακον
ὁρῶ τάχ᾽, εἰ μὴ νοῦν κατακτήσει τινά·
ὃς ἀνδρὸς οὐκέτ᾽ ὄντος, ἀλλ᾽ ἤδη σκιᾶς,
θαρσῶν ὑβρίζεις κἀξελευθεροστομεῖς.
οὐ σωφρονήσεις; οὐ μαθὼν ὃς εἶ φύσιν,

1241. ἐκ Τεύκρου, von Seiten eines Teukros.

1243. εἴκειν (ἐκείνοις) ἃ ἤρεσκεν, zu 1050.

1244. κακοῖς βαλεῖτε, vgl. Trach. 940 ὡς νιν ματαίως αἰτίᾳ βάλοι κακῇ. Hier erinnert der Gegensatz von βάλλειν und κεντεῖν an das Bild des Nah- und Fernkampfes.

1245. σὺν δόλῳ κεντεῖν, Hand in Hand mit Hinterlist (Phil. 842 σὺν ψεύδεσιν), im Gegensatze zu den βλασφημίαι, bezieht sich auf Aias' nächtlichen Ueberfall. — οἱ λελειμμένοι, οἳ ἡττηθέντες, vgl. Trach. 266 τῶν ἂν τέκνων λείποιτο. Das Perfectum λελειμμένοι ist verletzender als der Aorist λειφθέντες.

1249. τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν, vgl. Herod. 8, 89 οἱ ὄπισθε τεταγμένοι ἐς τὸ πρόσθε παριέναι πειρεώμενοι. Babrios Fab. 40, 4 ἔμπροσθεν ἤδη τἀξόπισθέ μοι βαίνει.

1250 f. Vgl. 758 ff.

1252. Aehnlich Chaeremon fr. 24 p. 612 ὁ γὰρ φρονῶν εὖ πάντα συλλαβὼν ἔχει.

1253. πλευρά ist hinzugefügt, weil die μάστις sie vornehmlich trifft. Vgl. das ähnlich ironisch gebrauchte Bild Ant. 477 σμικρῷ χαλινῷ δ᾽ οἶδα τοὺς θυμουμένους ἵππους καταρτυθέντας.

1255. τὸ φάρμακον, τῆς μάστιγος.

1256. νοῦν τινα, höhnisch, etwas Verstand, vgl. Phil. 1130 φρένας εἴ τινας ἔχεις.

1257. ἀνδρὸς οὐκέτ᾽ ὄντος, Gen. absol.

1259. ὃς εἶ, wie O. R. 1068 εἶθε μήποτε γνοίης ὃς εἶ. Eur. Alc. 640 ἔδειξας ὃς (d. h. οἷος) εἶ.

ἄλλον τιν᾽ ἄξεις ἄνδρα δεῦρ᾽ ἐλεύθερον,
